



LANE MEDICAL LIBRARY STANFORD
2 45 0376 5474

All'Ill.mo Sig.r Direttore del Museo Romano, Bonn
[illegible] l'Editore

THEOPHILI ET STEPHANI ATHENIENSIS

DE FEBRIUM DIFFERENTIA

EX

HIPPOCRATE ET GALENO

EDIDIT

DEMETRIUS SICURUS

FLORENTIAE
EX TYPOGRAPHIO FEDERICI BENCINII

MDCCCLXII.

THEOPHILI ET STEPHANI ATHENIENSIS

DE FEBRIUM DIFFERENTIA

EX

HIPPOCRATE ET GALENO

EDIDIT

DEMETRIUS SICURUS



FLORENTIAE

EX TYPOGRAPHIO FEDERICI BENCINII

MDCCCLXII.

Benevole Lector!

Sisto tibi opuscula duo Theophili et Stephani Atheniensis, discipuli ejus «De febrium Differentia ex Hippocrate et Galeno,» quae transcripsi ex hibliothecæ Laurentianae codicibus Plut. LXXXI, 20, et Plutei LXXIV, 11. Pars eorum jam edita a Chartero, Bernardo et Idelero sub nomine Palladii Iatrosophistae, (1) quos contra Dietzius, Bussemaker, Darembergius vere auctorem ejus sinopseos Stephanum Atheniensem, esse censuerunt. Neque dubito, quin praeter multitudinem codicum, qui exstant in bibliothecis nomini Stephani insignes, haec ipsa editio magis etiam confirmatura sit opinionem virorum doctorum, quos nominavi, quippe qua primum redintegrentur opuscula illa adhuc manca, quorum usus haud levis est ad intelligendam artis medicae historiam. Supervacuum esse puto verba facere de vita et scriptis medicorum illorum Byzantinorum, qui floruerunt aetate Imp: Heraclei (An. 603-605), quorumque Theophilus, Anatomica arte illustris, provectus est ad Protospatharii dignitatem. Idem autem scripserunt et Byzantii et Alexandriae, optimique commentatores Hippocratis et Galeni habebantur; nam Theophilus Aphorismos illustravit, quod opus Dietzius edidit, (2) Stephanus Prognostica, cujus scholia in lu-

(1) Vidè Palladii de febribus concisa Synopsis, cum notis Jo: Stephan. Beruard. Lugdun. Batavor. 1745. 8. Ideler. Physici et medici Graeci Minores T. 1. p, 107. Berolini 1841.

(2) Scholia in Hippocrat. et Galen. Berol. 1834. in 8o. T. II. p. 246—544.

cen protulit Cardinalis Ang. Majus et commentariis auxit Galeni priorem librum Therapeuticum in Glanconem, cujus interpres Latine fuerat Augustinus Matenensis (1). Quamquam post eruditissima Friendii, Fabricii, Hekeri, (2) aliorumque studia, de his alias disserendi copiam mihi fore spero. Tam litterarum medicarum cultoribus ipsum hoc opusculum nondum editum gratum fore desidero, quamvis tempopum rationem vix studiis hisce antiquoris aevi favere perspiciam.

Scripsi Florentiae die 15 Januarii 1862.

D^r. DEMETRIUS SICURUS.

(2) Vide medici antiqui Graeci a Tulio Paulo Crasso Patavino Latio Donati. Basileae 1581. 4. p. 109.

(2) Storia filosofica della medicina di Giusto Hecker traduzione Italiana del Castagna. Firenze 1852. T. 2. p. 228—231.

VIRO ILLUSTRI

KAROLO DAREMBERGIO

EDITORI OPERUM ORIBASII etc. etc.

SACRUM

ΘΕΟΦΙΛΟΥ ΚΑΙ ΣΤΕΦΑΝΟΥ

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΠΥΡΕΤΩΝ ΔΙΑΦΟΡΑΣ ΕΚ ΤΕ ΙΠΠΟΚΡΑΤΟΥΣ ΚΑΙ ΓΑΛΗΝΟΥ (α)



ΣΚΟΠΟΝ ἔχομεν ἐν τῷ παρόντι συγγράμματι περὶ τῆς τῶν πυρετῶν διαφορᾶς σύντομον ἐκθέσθαι παράδοσιν, καὶ πρῶτον εἰπεῖν τὴν οὐσίαν τῶν πυρετῶν, καὶ τὰς διαφορὰς αὐτῶν, τάς τε οὐσιώδεις καὶ ἐπουσιώδεις, τάς τε γενικωτέρας καὶ εἰδικωτέρας· εἶτα τὰς αἰτίας αὐτῶν καὶ τὰς σημειώσεις· ἀλλὰ πρῶτον τί ἐστι διαφορά; Διαφορά ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ὁποῖόν τι ἔστι κατηγορούμενον. Ποσαχῶς ἡ διαφορά; Τριχῶς. Κοινῶς, ἰδίως, καὶ ἰδιαίτατα.

(α) *Τίς ὁ σκοπὸς τῆς ὅλης πραγματείας καὶ πόσοι θεραπευτικοὶ σκοποί.*

Τέσσαρες εἰσὶ θεραπευτικοί σκοποί· ὁ ἀπὸ τοῦ ποσοῦ, καὶ τοῦ ποιοῦ, καὶ τοῦ καιροῦ, καὶ τοῦ τρόπου τῆς χρήσεως. Ποσαχῶς ἡ ἔνδειξις τῶν θεραπευτικῶν σκοπῶν; Πενταχῶς. Πρώτη μὲν ἔνδειξις, ἡ ἀπὸ τῆς τοῦ πεπονθότος τόπου κράσεως ἐστὶ, τὸ μέτρον ὁρίζουσα τοῦ θερμαίνειν, ἢ ψύχειν, ἢ ξηραίνειν, ἢ ὑγραίνειν, ἢ κατὰ συζυγίαν πράττειν αὐτά· δευτέρα δὲ, τοῦ κοινὸν εἶναι τὸ ἔργον ἅπασι τοῖς τοῦ ζώου μορίοις, ἢ κοινὴν τὴν δύναμιν εἶναι χορηγεῖν· τρίτη ἡ παρὰ τὴν διάπλασιν αὐτοῦ· τετάρτη ἡ παρὰ τὴν θέσιν, ἧς μέρος ἐςὶν, ἡ πρὸς τὰ πλησιάζοντα τοῦ ζώου μόρια κοινωνία· καὶ πρὸς τούτοις ἅπασιν ἡ τοῦ τῆς αἰσθήσεως ποσοῦ.

(α) Plut. LXXXVI Cod 20. Codex chartaceus in 8. Saeculi XV. Catalog. Bandini T. 3. p. 364-5.

(β) *Τί ἐστι πυρετός.*

Πυρετὸς τοίνυν ἐστι θερμασία παρὰ φύσιν ἀπὸ καρδίας ἀρχομένη καὶ διὰ τῶν ἀρτηριῶν ἐπὶ πᾶν τὸ σῶμα ἡπλωμένη, καὶ αἰσθητῶς βλάπτουσα τὴν ἐνέργειαν τοῦ σώματος. Δύο γὰρ ὄργανα ἔχει ὁ πυρετὸς καὶ κέχρηται τούτοις πρὸς λύμην παντὸς τοῦ σώματος, καρδίαν φημὶ καὶ ἧπαρ· καρδίαν μὲν ἀνάπτουσαν αὐτὸν, ἧπαρ δὲ τὴν τῶν χυμῶν ὕλην αὐτῷ χορηγοῦν. Ὁρμᾶ οὖν ὁ πυρετὸς ἀπὸ καρδίας καὶ ἥπατος, καὶ οὐ φείδεται οὔτε χόνδρων, οὔτε ὀστέων, οὔτε νεύρων, οὔτε ἄλλου μορίου, ἐκδαπανᾶ δὲ πᾶσαν τὴν ὑγρότητα τῶν μορίων. Τί ἐστὶ σκοπός; Τὸ προϋπονοούμενον τέλος· καὶ ἄλλως σκοπὸς ἐςὶ πρόληψις ψυχῆς καὶ προτύπωσις προτεθεῖσα, ἐκ μεταφορᾶς τοῦ τοξότου, τοῦ πρῶτον μὲν στοχαζομένου τὸν τόπον, εἶθ' οὕτως ἐπιπέμποντος τὸ βέλος. Πόσαι διαφοραὶ τῆς θερμασίας; Δύο· ἢ γὰρ ἀνειμμένη ἐστὶν, ἢ ἐπιτεταμένη, τουτέστιν ἢ ἧττον, ἢ μᾶλλον· οὐκοῦν καὶ τοῦ πυρετοῦ διαφοραὶ δύο, οὐσιώδεις καὶ ἐπουσιώδεις, καὶ ἐπὶ τὸ ἧττον καὶ μᾶλλον ὑπάρχουσιν. Τί ἐστι τὸ προϋπονοούμενον τέλος; Τὸ ἀποτέλεσμα τοῦ σκοποῦ. Καὶ τί τὸ ἀποτέλεσμα τοῦ σκοποῦ; Ἡ ἀρχὴ καὶ τὸ τέλος· ἀρχὴ δὲ καὶ τέλος τὸ ἄρξασθαι καὶ τελειῶσαι. Τίς ἡ οὐσία τοῦ πυρετοῦ; Ἡ παρὰ φύσιν θερμασία· ἡ δὲ θερμασία ποιότης τις ἐστί· πᾶσα δὲ ποιότης ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, τὸ δὲ μᾶλλον καὶ τὸ ἧττον τοῦ εἴδους ἐξαλλαγὴν οὐ ποιεῖ. Γράφει γὰρ ὁ Γαληνὸς ἐπὶ λέξεως οὕτως. Αἱ διαφοραὶ τῶν πυρετῶν, αἱ μὲν οἰκειόταταί τε καὶ κυριώταται κατὰ τὴν οὐσίαν αὐτῶν εἰσὶν, αἱ δὲ ἄλλαι κατά τι τῶν συμβεβηκότων. Τίς δὲ ἡ οὐσία τοῦ πυρετοῦ; Ἡ παρὰ φύσιν θερμασία· τῆς δὲ θερμασίας ταύτης, ἡ μὲν μᾶλλον ἐστὶν, ἡ δὲ ἧττον. Καὶ αὗται μὲν εἰσὶν αἱ κυριώταται διαφοραὶ, αἱ δὲ ἄλλαι κατὰ συμβεβηκός. Καὶ τούτων αἱ μὲν ἀχώριστοι, ὅσαι παρὰ τὴν φύσιν, ὡς εἰρήκαμεν, ἐπὶ στερεοῖς, καὶ ὑγροῖς, καὶ πνεύμασι συνίστανται· αἱ δὲ χωρισταὶ, ὅσαι παρὰ τὴν κίνησιν, καθὰ φαμὲν, τοὺς μὲν ὀξεῖς, τοὺς δὲ χρονίους· καὶ τοὺς μὲν τεταγμένους, τοὺς δὲ ἀτάκτους· ἀλλὰ καὶ ὡς ἀπὸ χρώματος, ὡς ἂν εἴπωμεν, τοὺς μὲν ξανθοὺς, τοὺς δὲ ἐρυθροὺς,

τοὺς δὲ πελιδνούς· ἀπὸ μορίῳ δὲ, ὡς ἂν φήσωμεν, τοὺς μὲν περιπνευμονικοὺς, τοὺς δὲ πλευρητικοὺς εἶναι Πυρετούς· αὗται γὰρ αἱ κατὰ συμβεβηκὸς εἰσὶ διαφοραὶ καὶ χωρισταὶ οὐ γὰρ ἀεὶ ἐστὶν ὁ πυρετός. Περιπνευμονικὸς δὲ ἐστὶ, μεταλαμβανόμενος εἰς ἄλληλα τῶν παθῶν· καὶ ἐπὶ τῶν ὀξέων δὲ τὸ αὐτό· δύναται γὰρ ἀπὸ τῶν ὀξέων εἰς χρόνιον πεσεῖν· εἰκότως οὖν αὗται λέγονται χωρισταὶ, διὰ τὸ μεταπίπτειν αὐτὰς, καὶ μεταβαίνειν ὡσαύτως ἀεί. *Πόσαι αἱ διαφοραὶ τῶν πυρετῶν.* Καὶ λέγομεν ὅτι τῶν πυρετῶν αἱ διαφοραὶ διτταί· αἱ μὲν οὐσιώδεις, αἱ δὲ ἐπουσιώδεις· καὶ οὐσιώδεις μὲν καὶ οἰκειοτάτας καὶ κυριωτάτας καὶ πρώτας διαφορὰς καλεῖ ὁ Γαληνὸς τὰς ἀπὸ τοῦ εἴδους, τοῦ παρὰ τὸ μᾶλλον καὶ ἧττον. Τῶν γὰρ πυρετῶν, οἱ μὲν εἰσὶν οὐσιώδεις, οἱ δὲ κατὰ συμβεβηκός. Καὶ τῶν οὐσιωδῶν, οἱ μὲν περὶ τὸ εἶδος, οἱ δὲ περὶ τὴν ὕλην· καὶ ἡ μὲν περὶ τὸ εἶδος διαφορὰ, τὸ μᾶλλον καὶ ἧττον, ἡ γὰρ θερμασία ἢ μᾶλλον ἐστὶν, ἢ ἧττον· ἡ δὲ περὶ τὴν ὕλην, ἢ ἐπὶ πνεύμασιν, ἢ ἐφ' ὑγροῖς, ἢ ἐπὶ στερεοῖς. Καὶ ἡ μὲν ἐπὶ πνεύμασιν, ἢ ζωτικὴ, ἢ ψυχικὴ, ἢ φυσική· ἡ δὲ ἐπὶ ὑγροῖς, ἢ ἐπὶ φλέγματι, ἢ ἐπὶ χολῇ, ἢ ἐπὶ μελαγχολίᾳ, ἡ δὲ ἐπὶ στερεοῖς ἢ ἐπὶ παρεσπαρμένῃ ὑγρότητι, ἢ ἐπὶ νεοπαγῆ, ἢ ἐπὶ συνεκτικῇ. Καὶ αὕτη μὲν ἡ οὐσιώδης διαφορὰ τῶν πυρετῶν. Ποίας καλεῖ οὐσιώδεις καὶ ποίας ἐπουσιώδεις; Τὰς κυριωτάτας καὶ πρώτας, καὶ τὰς παρὰ τὸ μᾶλλον καὶ ἧττον, οὐσιώδεις καλεῖ, τὰς δὲ ἀπὸ τῆς ὕλης καλεῖ ἐπουσιώδεις. Πόσαι διαφοραὶ τῶν πυρετῶν; Δύο, αἱ οἰκειόταται καὶ κυριώταται, αἵτινες καὶ διαιροῦνται ἐν τῷ παρόντι συγγράμματι· καὶ ἐν μὲν τῷ πρώτῳ διαλαμβάνει περὶ τῶν ὁμογενῶν πυρετῶν, φημὶ δὲ περὶ ἐφημέρων καὶ ἐκτικῶν· ἀλλ' εὐθέως τις ἐπανίσταται καὶ λέγει τί φῄς· ὁμογενεῖς ὑπάρχουσιν ὅτε ἐφήμερος καὶ ἐκτικός; Παραδέδωκάς μοι τὸν ἐφήμερον, εὐηθέστατον ὄντα, καὶ ἐν μιᾷ ἡμέρᾳ γενόμενόν τε καὶ παυόμενον, τὸν δ' ἐκτικὸν, τὸν οὕτω δυσίατον καὶ κακοήθη, ὁμογενῆ ἀναγορεύεις τοῖς ἐφημέροις. Λέγω μὲν καὶ ὅτι ὁμογενεῖς αὐτοὺς ἔφην εἶναι, ὡς ἀμφοτέρους ἐκ προκαταρκτικῆς αἰτίας γενομένους· ὅτι τῶν πυρετῶν οἱ μὲν εἰσὶν ἐπὶ πνεύμασιν, οἱ δὲ ἐπὶ ὑγροῖς, οἱ δὲ ἐπὶ στερεοῖς· καὶ πάλιν τῶν πυρετῶν, οἱ μὲν ἐπὶ τόπῳ πεπονθότι, οἱ δὲ ἄνευ

τόπου· ὅτι τῶν νοσημάτων, τὰ μὲν εἰσὶ ὁμοιομερῆ, τὰ δὲ ὀργανικὰ, τὰ δὲ κοινά· καὶ τὰ μὲν ἁπλᾶ, τὰ δὲ σύνθετα, καὶ τὰ μὲν μεθ' ὕλης, τὰ δὲ ἄνευ ὕλης, καὶ ἢ ἐν παντὶ τῷ σώματι, ἢ ἐν ἑνὶ μορίῳ, καὶ οἱ ἐν ἑνὶ μορίῳ, ἢ κυρίῳ, ἢ ἀκυρίῳ. Ζητοῦμεν καὶ τὴν οὐσίαν τοῦ πυρετοῦ, ὁ μὲν γὰρ πυρετὸς συμβεβηκὸς, ἡ δὲ ὕλη οὐ συνδιαιρεῖται· ὁ πυρετὸς γὰρ οὐσία, ἐπειδὴ καὶ τὰ πνεύματα οὐσίαι εἰσίν· οὐσία δ' ἐςὶν αὐτοῦ, ἡ παρὰ φύσιν θερμασία. Τί οὖν, ἐάν τις συγγράφων, ἢ ἐνεργῶν, ἢ ὁδοιπορῶν, θερμανθεὶς τὰς χεῖρας ἢ τοὺς πόδας, πυρέττειν αὐτὸν λέγομεν; οὐδαμῶς· ἐπειδὴ αὕτη ἡ θέρμη ἐν μέρει γίνεται, ὁ δὲ πυρετὸς ἐν ὅλῳ τῷ σώματι. Ἀλλὰ πάλιν ἐροῦσιν τινὲς τί οὖν, ἐάν τις λουσάμενος ἢ οἶνον πιὼν, ἢ ἄλλως πως διαθερμανθῇ ὅλον τὸ σῶμα, τότε πυρέττειν φήσωμεν τὸν ἄνθρωπον· καὶ λέγωμεν οὐχί, ἐπειδὴ οὐ βλάπτει τὰς ἐνεργείας ἡ τοῦ λουτροῦ θερμασία. Ἐροῦμεν οὖν οὕτω, ὅτι πυρετὸς θερμασία παρὰ φύσιν ἐν ὅλῳ τῷ σώματι γινομένη, καὶ βλάπτουσα τὰς ἐνεργείας. Ἰστέον, ὅτι ἡ καρδία οἷον πηγή τις τῆς ἐμφύτου θερμασίας· ἐκπεφύκασι δὲ ταύτης ἀρτηρίαι, οἷον σωλῆνες τινές, καὶ δι' αὐτῶν τῷ παντὶ σώματι χορηγεῖται ἡ θερμότης. Ἐάν τις ὁδοιπορῶν θερμανθῇ τὴν κεφαλὴν, πάσχουσιν αἱ ἀρτηρίαι καὶ τῇ συγγενείᾳ ἀπαγγέλουσι τὸ πάθος τῇ καρδίᾳ, καὶ οὕτως αὕτη μεταλαμβάνουσα τοῦ πάθους ἀνάπτει πυρετὸν, τὸ γὰρ ἐν αὐτῇ πνεῦμα ἑτοίμως ὑπὸ τοῦ ὁμοίου θερμοῦ πάσχει. Μεμαθήκατε γὰρ πολλάκις, ὅτι τὸ ἡμέτερον σῶμα ἐκ τριῶν οὐσιῶν συνέστηκεν, ἐκ πνευμάτων, ἐξ ὑγρῶν, ἐκ στερεῶν, καὶ ἐν τούτοις συνίσταται ὁ πυρετός. Καλεῖ δὲ Ἱπποκράτης πρέπουσαν ἐν λέξεσι τὴν ὀνομασίαν. Τίς ἐστι κατὰ συμβεβηκὸς πυρετὸς; Ὃς γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς· καὶ πῶς ὁρῶμεν ἐπὶ τὸν περιφρυγῆ μαρασμὸν, ὅτι γίγνεται μὲν, οὐκ ἀπογίγνεται δὲ· καὶ λέγομεν, ὅτι ὁ περιφρυγὴς μαρασμὸς οὐκ ἀποχωρεῖται τῆς τοῦ ὑποκειμένου φθορᾶς. Ἐροῦμεν δὲ, ὅτι πρῶτον μὲν οὐκ ἔστιν ἀληθὴς ἐπὶ πάντων τῶν συμβεβηκότων ὁ ἀποδιδόμενος λόγος ἀλλ' ἐπὶ μόνων τῶν χωριστῶν· ἐπὶ δὲ τῶν ἀχωρίστων οὐκ ἔστιν· ὁ δὲ κατὰ συμβεβηκὸς τοιοῦτος ἐστὶν, ἢ ἐν τόπῳ πεπονθότι ἐστὶν, ἢ ἐν σπληνὶ, ἢ ἐν ἥπατι, ἢ ἐν πλευρῷ, καὶ

τοῖς τοιούτοις· καὶ γὰρ ὁ πυρετὸς εἰ φθείρει τὸ ὑποκείμενον, οὐκ ἐπὶ συμβεβηκὸς ἐστὶν, ἀλλ' ἢ κακοήθεις νόσημα. Εἰ γὰρ ὁ πυρετὸς ἔφθειρε τὸ ὑποκείμενον, ἔδει πᾶν συμβεβηκὸς φθείρειν τὸ ὑποκείμενον· ἀλλὰ μὴν οὔτε οἱ ἐπὶ πνεύμασιν, οὔτε οἱ ἐπὶ χυμοῖς πυρετοὶ, οὔτε οἱ ἐκτικοὶ, ἀρχόμενοι τοῦτο ποιοῦσιν, ἀλλὰ μόνοι οἱ μαρασμώδεις· ὅτι οὐκέτι ὁ πυρετὸς φθείρει τὸ ὑποκείμενον, ἀλλ' ἢ τὸ κοκόηθες νόσημα· καὶ οὗτοι οἱ πυρετοὶ ἢ συνεχεῖς εἰσὶν, ἢ διαλείποντες, ἢ ὀξεῖς, ἢ χρόνιοι. Εἰ δὲ ἄνευ τόπου πεπονθότος εἴη ὁ πυρετὸς, ἐπ' ἐμφράξει ἐστὶ, καὶ αὕτη ἡ ἔμφραξις περὶ τὰ διάφορα μόρια ἐςὶ, καὶ μὴ θαυμάσῃς, ὅτι μία οὐσία ἐστὶ, πολλαὶ δὲ κατὰ συμβεβηκὸς, οὕτω γὰρ καὶ ἐν κατηγορίαις καὶ ἐν παντὶ πράγματι. Ἀποροῦσι δὲ τινὲς πρὸς τὴν οὐσιώδη διαφορὰν τῶν πυρετῶν, τὴν παρὰ τὸ εἶδος, φασὶ γὰρ τὸ μᾶλλον καὶ τὸ ἧττον. Τίνος λέγεται διαφορὰ, τῆς ἁπλῆς θερμασίας ἢ τῆς παρεκτικῆς; Καὶ φαμὲν, ὅτι διττὸν τὸ οὐσιῶδες· οὐσιῶδες γὰρ ἐστὶ, τὸ ἀπὸ τῆς οὐσίας ὁρμώμενον, καὶ τὸ ἀμέσως ἄγον ἡμᾶς ἐπὶ τὴν οὐσίαν, Ἐνταῦθα οὖν οὐσιώδη διαφορὰν λεγόμεν, τὸ μᾶλλον καὶ τὸ ἧττον, ὡς ἀμέσως ἄγον ἡμᾶς ἐπὶ τὴν θερμασίαν. Σημειοῦται δὲ ὁ Γαληνὸς τὸ ἀπὸ τριχῶν καὶ χροιᾶς· οὐσιώδη δὲ καλεῖ τὴν ἀφὴν, ὡς ἄγουσαν ἡμᾶς εἰς κατάληψιν τοῦ καθαπτομένου, καὶ ἄλλοτε ἐξ ἄλλου τῶν εἰρημένων. Τί ἐστι συμβεβηκὸς, ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. Τὸ δὲ συμβεβηκὸς ἐν σώματι ἐστί; Ναί. Καὶ ὁ πυρετὸς ἄρα ἐν σώματι; Ναί. Καὶ πόσαι διαφοραὶ τῶν σωμάτων; Τρεῖς. Καὶ ἐπειδὴ τῶν σωμάτων τρεῖς εἰσὶ διαφοραί· ἢ γὰρ πνεύματα εἰσὶν, ἢ ὑγρὰ, ἢ στερεὰ· καὶ ὁ πυρετὸς ἄρα ἐν πνεύμασιν ἐστὶν, ἢ ἐν ὑγροῖς, ἢ ἐν ςερεοῖς. Αἱ μὲν κατὰ γένος διαφοραὶ τῶν ποιοτήτων τρεῖς εἰσὶ γινόμεναι, κατ' εἶδος δὲ πλεῖσται. Εἰς πόσα διαιρεῖται ὁ ἐν πνεύματι πυρετὸς; Εἰς δύο, ἢ γὰρ ἐφήμερος ἐστὶ μονοήμερος, ἢ ἐφήμερος πολυήμερος, ἐπειδὴ γὰρ οὗτος ἢ ἐν ἀπερίττῳ γίνεται σώματι, ἢ περιττωματικῷ. Ἐφήμερον πολυήμερον. Πῶς; μηκέτι ἀρκούμενος ὁ πυρετὸς τῷ πνεύματι· ἀλλ' ἐπινεμόμενος τῷ αἵματι, παρεκτείνεται εἰς γ'. ἢ δ'. ἡμέρας, καὶ γίνεται ἐφήμερος πολυήμερος. Διατί καλοῦμεν ἐφήμερον πολυήμερον. Διὰ

τὰ φθάσαντα λεχθῆναι. Ἐνίοτε γὰρ καλοῦμεν ἐφήμερον μὲν, διὰ τὸ πνεῦμα, καὶ τὴν ἰδίαν φύσιν αὐτοῦ, πολυήμερον δὲ διὰ τὴν ὑποκειμένην ὕλην. Διατὶ δὲ τρεῖς διαφορὰς εἶπε, τεσσάρων ὄντων χυμῶν, ἀλλὰ τοὺς μὲν ἐπὶ χολῇ καὶ φλέγματι, καὶ μελαγχολίᾳ πυρετοὺς ἔφησεν, ἐφ' αἵματι δὲ οὐκέτι; Ἐπειδὴ πᾶς πυρετὸς ἐπὶ χυμῷ γινόμενος, ἐπὶ σήψει τούτου γίνεται· τὸ δὲ αἷμα σαπὲν, καὶ ποιοῦν πυρετὸν, οὐκέτι μένει αἷμα, ἀλλὰ χολὴ γίνεται, καὶ οὐχ' αἷμα, καὶ λύεται τὸ ζητούμενον· καὶ τεσσάρων ὄντων χυμῶν, οὐδὲν ἄτοπον, τρεῖς εἶναι διαφορὰς πυρετῶν. Καὶ πῶς ἐπὶ ἀσήπτω αἵματι πυρετὸς γίνεται; Καὶ φαμὲν, ὅ,τι ἡμεῖς περὶ τῶν ἐν σήψει λέγομεν, οὗτοι δὲ περὶ τῶν ἀσήπτων· ἄλλως τε καὶ ὁ ἐπὶ ἀσήπτῳ αἵματι γινόμενος πυρετὸς, ἐπὶ τοῖς πολυημέροις ἐφημέροις ἀνάγεται· ὅθεν καὶ ὁ Γαληνὸς ἐν τῷ ὀγδόῳ λόγῳ, τοὺς συνόχους ἐφημέρους, πολυημέρους καλεῖ, τοὺς ἐπὶ ἀσήπτῳ αἵματι γινομένους ἐντὸς τῶν ἀγγείων, οἱ δὲ διαλείποντες ἐκτὸς τῶν ἀγγείων, σηπομένου τούτου γίνονται, καὶ οὐκέτι ὡς αἷμα ἐστὶν, ἀλλ' ὡς ξανθὴ χολή. Διατὶ δ'. ὄντων χυμῶν, τέσσαρες ὄγκοι γίνονται, διαφοραὶ δὲ πυρετῶν τρεῖς; Ἐπειδὴ ὁ ὄγκος συνίσταται καὶ χωρὶς σήψεως χυμῶν· δύναται γὰρ καὶ τὸ αἷμα χωρὶς σήψεως ὄγκον ποιῆσαι. Καὶ ποῖαι εἰσὶ κατὰ συμβεβηκὸς ἀχώριστοι, ποῖαι δὲ χωρισταί· χωρισταὶ μὲν εἰσὶν ὡς ἄν τις εἴποι, τοῦ ζώου τὸ μὲν λογικὸν, τὸ δὲ ἄλογον, αὗται αἱ διαφοραὶ οὐσιώδεις ὑπάρχουσιν, ἐὰν δὲ φήσωμεν τοῦ ζώου τὰ μὲν λευκὰ, ὡς κύκνοι, τὰ δὲ μέλανα, ὡς χελιδῶνες, καὶ τὰ ὅμοια, καλοῦνται κατὰ συμβεβηκὸς, ἀπὸ γὰρ τῶν χρωμάτων ἐλήφθησαν. Καλοῦνται δὲ ἀχώριστα, διὰ τὸ μὴ χωρίζεσθαι τῆς οὐσίας, τοῦ γὰρ κύκνου τὸ λευκὸν οὐ χωρίζεται, ὡς οὐδὲ τῆς κορώνης, ἢ τῆς χελιδόνος τὸ μέλαν· ἐὰν δὲ εἴπωμεν, τὰ μὲν περιπατεῖ, τὰ δὲ οὐ περιπατεῖ, τὰ δὲ ἵσταται, τὰ δὲ κάθηται τῶν ἐμψύχων, εἰσὶ ταῦτα κατὰ συμβεβηκὸς χωριστά. Εἰ τοίνυν ἐπὶ παντὸς πράγματος αἱ διαφοραὶ, αἱ μὲν εἰσὶν οὐσιώδεις, αἱ δὲ ἐπουσιώδεις καὶ αἱ μὲν ἀχώριστοι, αἱ δὲ χωρισταὶ, καὶ ἐπὶ τοῦ πυρετοῦ ἄρα τὸ αὐτὸ φυλαχθήσεται, καὶ γὰρ τὸ ἀληθὲς σώζεται, καὶ γὰρ ὁ πυρετὸς πρᾶγμα ἐστὶ, παντὸς δὲ πράγματος οὐσιώδεις διαφοραὶ αἱ εἰρημέναι εἰσὶ, καὶ τοῦ πυρετοῦ

ἄρα αὗται αἱ διαφοραί· τούτου γὰρ αἱ μὲν εἰσιν οὐσιώδεις, αἱ δὲ κατὰ συμβεβηκὸς, καὶ αἱ μὲν ἀχώριστοι, αἱ δὲ χωρισταί. Τινὲς λέγουσιν, ὅτι τὸ μᾶλλον καὶ τὸ ἧττον ἐν τῇ ὕλῃ εὑρίσκεται· τὸ μὲν γὰρ μᾶλλον ἐν συνόχῳ τριταίῳ ἐφημέρῳ, τὸ δὲ ἧττον ἐν ἀφημερινῷ καὶ ἑκτικῷ. Ἡ λύσις τούτου ῥᾳδία ἐστὶ, μετασχηματισθείσης δὲ τῆς λέξεως, μᾶλλον δὲ προςτεθείσης· ἐν γὰρ τῷ λέγειν, αἱ οὐσιώδεις κατὰ συμβεβηκὸς εἰσὶ, προστεθὲν τὸ ἐν τοῖς κατὰ συμβεβηκόσι, λύει τὸ ζητούμενον, εἰ μὲν γὰρ οὐσιώδεις αὗται, οὐκ εἰσὶ κατὰ συμβεβηκὸς εἰ δ' ἐν τοῖς κατὰ συμβεβηκὸς ὑπάρχουσιν, οὐδὲν ἄτοπον εἶναι αὐτὰς οὐσιώδεις· καὶ γὰρ ἡμεῖς οὐσίαι μὲν ὑπάρχομεν· ἀλλ' ἐν τόπῳ συμβεβηκότι ἐσμὲν, οὕτως οὖν καὶ αἱ παρὰ τὸ μᾶλλον καὶ ἧττον οὐσιώδεις οὖσαι, ἐν τοῖς κατὰ συμβεβηκὸς ὑπάρχουσιν, κᾀν τούτῳ μᾶλλον οὐσιώδεις ἄν εἶεν, τῷ πᾶσι παρακολουθεῖν πυρετοῖς. Πῶς ἀναδέχονται τὰ στερεὰ τῶν πυρετῶν πρὶν τῶν ὑγρῶν, ὅτ' ἄν τινὲς ἠθροικότες ὠμοὺς χυμοὺς καὶ ψυχροὺς ἐν ταῖς κοιλίαις τῆς καρδίας, ἐπειδὰν θυμωθῶσι, ἢ ἀγρυπνήσωσι ἢ φροντίσωσιν, τότε κατ' ἀνάγκην μήτε χυμοὺς δυναμένης ἀναδέξασθαι τῆς θερμότητος, ψυχροὶ γὰρ εἰσὶ, λοιπὸν τῶν ὑγρῶν ξυρανθέντων τὸ πάθος ὑποδέχονται τὰ στερεὰ, διότι ἀμέσως ἄγει ἐπ' αὐτὰ τὴν οὐσίαν τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, τήν τε οὐσιώδη, τὴν περὶ τὸ ὕδωρ διαφέρουσαν τὸ μᾶλλον καὶ ἧττον, τὴν ἐπὶ πνεύμασι, ἢ ἐπὶ ὑγροῖς, ἢ ἐπὶ στερεοῖς ἀνάπτουσαν τοὺς πυρετοὺς, ὡς φησὶν Ἱπποκράτης, *ἴσχοντα*, *ἰσχόμενα* καὶ *ἐνορμῶντα*· *ἴσχοντα* μὲν καλεῖ τὰ στερεὰ, ἰσχόμενα δὲ τὰ ὑγρὰ, ἐνορμῶνται δὲ τὰ πνεύματα ὁ δὲ Γαληνὸς ἀναφέρει, ὅτι ἀναμέμικται ἐν πάσαις ταῖς ἀρτηρίαις διὰ πολλῶν ὀπῶν, ἀναπνεουσῶν τῷ αἵματι ἡ ἀερώδης οὐσία καὶ κατ' αὐτὴν τὴν καρδίαν. Καὶ ἄρχεται μὲν ἡ παρὰ φύσιν θερμότης, ἣν πυρετὸν ὀνομάζομεν, ἄλλοτε ἐξ ἄλλου τῶν εἰρημένων· καὶ εἰ μὲν φθάσῃ λυθῆναι τῷ χρόνῳ, ἐπινέμεται καὶ συνδιατίθεται τὰ λοιπὰ δύο γένη. Συνεκθερμαίνεται γὰρ ἀεὶ τῶν θερμαθέντων τὸ συνεχὲς, ἄχρις ἂν ἐπὶ τὴν καρδίαν ἡ διάθεσις ἀφικνεῖται καὶ λυμήνηται αὐτοῦ τὸ ἔμφυτον θερμὸν, καὶ ῥᾴστη μὲν ἡ ἐκ τῶν ὑγρῶν εἰς τὸ πνεῦμα μετάληψις τῆς θερμότητος, ἧττον δὲ ἑτοίμως τῷ πνεύματι, συνε-

πυροῦνται τὰ ὑγρά. Ἡ γὰρ λεπτομερὴς οὐσία, ῥᾷον ἀλλοιοῦται τῆς παχυμεροῦς, καὶ λεπτομερεστάτη μὲν ἡ τοῦ ἀέρος οὐσία, παχυμερεστάτη δὲ ἡ τῶν στερεῶν σωμάτων, μεταξὺ δ᾽ ἀμφοῖν ἡ τῶν ὑγρῶν· καὶ πρῶτον μὲν τὰ πνεύματα, ἑτοιμότερον μεταλαμβάνουσι τῆς θερμότητος, δευτέρως δὲ τὰ ὑγρά, εἰς ὕστερον δὲ τὰ στερεά· συνεκθερμαίνεται γὰρ τὸ ἐν τῇ καρδίᾳ καὶ ταῖς ἀρτηρίαις πνεῦμα τῷ αἵματι, καὶ οὕτως πυρούμενα πάσχουσιν πρὸς τὴν ἐπιτηδειότητα τοῦ ποιοῦντος καὶ τοῦ πάσχοντος. Τοῦ γὰρ πυρετοῦ οὐσιώδης ἐστὶ διαφορὰ ἡ περὶ τὴν ὕλην καὶ τὸ εἶδος, ἐκ δύο μερῶν σύνθετος· ὁ γὰρ πυρετὸς σύνθετον ἐστὶ πρᾶγμα ἐξ ὕλης καὶ εἴδους· ὕλης μὲν τῆς θερμῆς δυςκρασίας, εἴδους δὲ τῆς τοιᾶς δε θερμασίας· ὁ δὲ τρόπος τῆς κινήσεως, συμβεβηκυῖα ἐστὶ τοῦ πυρετοῦ διαφορά, τὸ δὲ πλῆθος ἀεὶ τῆς πυρετώδους οὐσίας, ἐν τῷ πλήθει κεῖται τῆς ἀποῤῥοῆς τῶν περιττωμάτων, τὸ δὲ ἀνιαρὸν κατὰ τὴν ἐπιβαλλομένην ἔξωθεν τοῦ χυμοῦ δριμύτητα· γνώρισμα γὰρ τοῦτο μέγιστον τοῦ πυρετοῦ, λέγω δὴ τὸ κατὰ τὴν ποιότητα τῆς θερμασίας· ἡ μὲν ἀτμωδεστέρα καὶ ἀλυποτέρα, τοῦ αἵματος ἐστὶ διαφορά, αἱ δὲ διαβρωτικαὶ ἐπὶ ταῖς χολαῖς ἀμφότεραι συνίστανται· ἀτμῶδες δέ τι καὶ καπνῶδες αὐτὸ τῷ ἐπὶ φλέγματι σηπομένῳ συνιστάμενον σημεῖον τῆς διαφορᾶς· Φησὶ γὰρ ὅτι τῶν πυρετῶν, οἱ μὲν *περικαέες*, οἱ δὲ *βληχροί*. *Περικαέες* δὲ εἰσὶν οἱ σφοδρέτεροι, καὶ ἔχοντες πολλὴν θερμασίαν, βληχροὶ δὲ οἱ ἀνειμένην ἔχοντες τὴν θερμασίαν. ἀλλὰ τὸ μὲν περικαέες, οἰκεῖον ὄνομα ἐφημέρων καὶ συνόχων ἐστί. Ἀλλ᾽ οἱ μὲν ἐφήμεροι μέχρι κδʹ. ὡρῶν τὸ πολὺ διαμένῃ, καὶ αὕτη ἔστιν ἡ ἀπὸ τῆς ποιότητος οὐσιώδης διαφορά· ἡ δὲ ἀπὸ τῆς ὕλης ἐνδείκνυται τὴν παρὰ τὸ μᾶλλον καὶ ἧττον διαφοράν, καθ᾽ ἣν δριμυτέρα γίνεται ἡ θερμασία, ὁ δὲ σύνοχος ἐπὶ πλεῖον ἔχει τὴν ὕλην ἐξ ἧς θερμαίνεται. Ἰστέον, ὅτι τὸ λουτρὸν μίαν περιέχει τὴν ὕλην ἐξ ἧς θερμαίνεται, καὶ γὰρ καὶ ὁ ἀὴρ, καὶ ἡ δεξαμενὴ καὶ οἱ τοῖχοι θερμαίνονται ἐκ τοῦ αὐτοῦ πυρός· ἀλλὰ ποῦ μὲν προσηνὴς ἡ θερμασία, ποῦ δὲ δριμυτέρα, ὡς ἔστιν ἐκ τούτου γνῶναι. Εἰσερχομένοις γὰρ ἡμῖν ἐν τῷ ἀέρι, οὐδεμία τις ἀνία γένεται δριμύτητος ὡς πρὸς τὸν ἀέρα, εἰ δὲ ἐφαψαίμεθα τῆς θέρμης τῆς δεξαμε-

νῆς μᾶλλον ἀνιώμεθα· εἰ δὲ τῶν λίθων ἁψόμεθα, δακνωδεςάτην καὶ δριμυτάτην εὑρήσομεν τὴν θερμασίαν· ἆρ᾽ οὐ μιᾶς οὔσης τῆς ὕλης διάφορον εὑρίσκομεν τὴν θερμασίαν, οὕτω οὖν καὶ ἐπὶ τοῦ πυρετοῦ εὑρίσκομεν πρὸς τὴν ὑποκειμένην ὕλην· εἰ μὲν γὰρ ἐπὶ πνεύμασιν γένηται πυρετὸς προσηνεστάτην ἔχει τὴν θερμασίαν ὅσον ἐν πυρετοῖς· εἰ δὲ ἐν ὑγροῖς δριμυτέραν· τῆς γὰρ ὕλης σηπομένης, ἀνάγκη δριμυτέραν εἶναι, καὶ γίγνεσθαι τὴν θερμασίαν· εἰ δὲ καὶ ἐπὶ στερεοῖς γένηται πυρετὸς, οἷος ὁ ἐκτικὸς, ἀνιαρᾶς συναισθανόμεθα τῆς θερμασίας· αὕτη οὖν ἐστι ἡ παρὰ τὴν ὕλην οὐσιώδης διαφορά· παρὰ δὲ τὴν κίνησιν, ἢ εὐθέως ἐξ ἀρχῆς τῆς θερμασίας ἀναδιδομένης, ἢ εἰς ὕστερον καὶ κατὰ μέρος. Καὶ αὗται εἰσὶν αἱ οὐσιώδης διαφοραί. Αἱ δὲ κατὰ συμβεβηκὸς, αἱ μὲν πλησιέστεραι, αἱ δὲ πολυχρόνιοι, ἢ ὀλιγοχρόνιοι, αἱ δὲ πορρωτέρω, αἱ δὲ κατὰ τὰς χροιάς, ἅς τινας ἐξερύθρους καὶ ἐξώχρους καλεῖ ὁ Ἱπποκράτης. Καὶ πάλιν τῶν πυρετῶν, οἱ μὲν *δακνώδεες* οἱ δὲ *πρηέες*. Καὶ δακνώδεες μὲν εἰσὶν οἱ δριμυτάτην ἔχοντες τὴν θερμασίαν, πραεῖς δὲ οἱ μὴ ἔχοντες οὕτως. Γράφει δὲ ὁ Γαληνὸς κατὰ λέξιν οὕτως· πυρετοὶ, οἱ μὲν δακνώδεις εἰσὶ τῇ χειρὶ, οἱ δὲ οὐ δακνώδεις, ἐπαναδιδόντες δὲ τῇ ἁφῇ· οἱ δὲ πραεῖς, οἱ δὲ ὀξεῖς, ἡσσώμενοι δὲ τῇ χειρὶ, οἱ δὲ περικαεῖς, οἱ δὲ λοιποὶ βληχροὶ, ξηροὶ, ἀμυδροὶ, οἱ δὲ πεμφιγώδεις· εἰδέναι δὲ χρὴ, ὅτι δακνώδεις τῇ χειρὶ καλεῖ ὁ Ἱπποκράτης, τοὺς ἐπὶ σήψει χυμῶν γινομένους, οὐ δακνώδεις δὲ ἐπαναδιδομένους δὲ τῇ ἁφῇ, τοὺς ἐπὶ στεγνώσει τῶν ἀδήλων πόρων τοῦ δέρματος, οὓς καὶ ὁ κατ᾽ ἀρχὰς μὲν ἐπιβάλλων τοὺς δακτύλους ἐπὶ τὸν σφυγμὸν οὐχ᾽ εὑρίσκει δάκνοντας· ὕστερον δὲ ἀναδίδονται τῇ ἁφῇ ὑπὸ τῆς ὑποκειμένης καὶ πλεονεκτούσης ὕλης· πρηέας δὲ λέγει, τοὺς ἐπὶ πνεύμασιν γενομένους, λέγω δὴ τοὺς ἐφημέρους, καὶ ὀξεῖς μὲν, ἡσσωμένους δὲ τῇ χειρὶ, τοὺς ἐπὶ κόποις, περικαεῖς δὲ τοὺς ἐπὶ χολῇ καυσώδει λέγει. Ποίους καλεῖ βληχροὺς, ξηροὺς, καὶ ἀμυδρούς; Τοὺς ἐκτικούς· πεμφιγώδεις δὲ τοὺς ἀπὸ ἡλιοκαΐας· οἱ δὲ τοὺς ἐπὶ φλυκταίνας γινομένους, καὶ τοὺς ἐπὶ τῶν νεφριτικῶν· ἀδέας δὲ λέγει, τοὺς ἐπὶ ζέσει τοῦ αἵματος γενομένους πυρετούς, ἐν οἷς καὶ αἱ τούτων διαφοραί.

(γ). Ὁποῖα συμβαίνει πλεονάζοντος τοῦ αἵματος.

Ὁπηνίκα δὲ πλεονάσῃ τὸ αἷμα καὶ παρασπαρῇ ἐν τοῖς ἀγγείοις καὶ ἔστιν ἄσαπὲς ποιεῖ πληθώραν, ἢ σύνοχον τὸν ἐπὶ ζέσει· εἰ δέ γε σαπῇ, εἰ μὲν ἐπὶ τοῖς ἀγγείοις ποιεῖ σύνοχον τὸν ἐπὶ σήψει, εἰ δὲ ἐν ἑνὶ μορίῳ πλεονάσῃ, καὶ ἔςιν ἄσαπὲς ποιεῖ ἐρυθήματα, εἰ δὲ καὶ σαπῇ ποιεῖ ἀποςήματα.

(δ'.) Ὁποῖα συμβαίνει πλεοναζούσης χολῆς.

Εἰ μὲν πλεονάσῃ ἐν τοῖς ἀγγείοις καὶ ἀναχυθῇ ἐν ὅλῳ τῷ σώματι καὶ ἔστιν ἄσαπὴς, ποιήσει ἴκτερον· εἰ δὲ πλεονάσασα σαπῇ, εἰ μὲν ἔσω τῶν ἀγγείων, ποιήσει καῦσον· εἰ δὲ ἔξω τῶν ἀγγείων, ποιήσει καῦσον τριταῖον διαλείποντα· εἰ δὲ ἐν ἑνὶ μορίῳ πλεονάσῃ καὶ ἔστιν ἄσαπὴς, ποιήσει τὸν λεγόμενον ἕρπητα· εἰ δὲ πάλιν σαπῇ, ποιήσει ἕρπητα μετ' ἀναβρώσεως.

(ε.) Ὁποῖα συμβαίνει πλεονάζοντος τοῦ μελαγχολικοῦ χυμοῦ.

Ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ μελαγχολικοῦ χυμοῦ ζητητέον· εἰ μὲν ἐν ὅλῳ τῷ σώματι πλεονάζῃ καὶ ἔστιν ἄσαπὴς, ποιήσει τὸν μέλανα ἴκτερον· εἰ δὲ πλεονάτας σαπῇ καὶ ἔστιν ἔξω τῶν ἀγγείων, ποιήσει τὸν τεταρταῖον· εἰ δὲ ἐν ἑνὶ μορίῳ πλεονάζῃ καὶ ἔστιν ἄσαπὴς, ποιήσει σκίῤῥους· εἰ δέ γε σαπῇ ποιήσει καρκινώματα, ἢ φαγεδαινώματα, ἢ γαγγραινώματα.

(ς'.) Πόσα ἀγγεῖα τοῦ αἵματος.

Ἰστέον ὅτι δύο ἀγγεῖα εἰσὶν ἐν ἡμῖν ἀρτηρία καὶ φλὲψ, ἡ μὲν τὸ πνεῦμα περιέχουσα, ἡ δὲ τὸ αἷμα. Μεμαθήκαμεν δὲ, ὅτι ταῦτα τ' ἀγγεῖα, ἢ ἐν τῷ πέρατι συναναστομοῦνται ἀλλήλοις, ἢ ἐν τῷ μέσῳ.

(ζ'.) Πῶς γίνεται ὁ πυρετός.

Φασὶν, ὅτι ὅτε πλεονάσῃ αἷμα ἐν ταῖς φλεψὶ, τοῦτο μὴ δυνάμενον στέγεσθαι, τῇ συνεχείᾳ κατέρχεται εἰς τὰς ἀρτηρίας, καὶ εἰ μὲν μεγάλη εἴη ἡ κοιλότης τῶν ἀρτηριῶν μένει ἐκεῖσε στεγόμενον καὶ μηδὲ παρεμποδὼν γενόμενον τῷ πνεύματι· εἰ δὲ εἴη στενὴ ἡ ἀρτηρία καὶ τὸ αἷμα πολὺ, τότε τῇ ῥύμῃ τοῦ πνεύματος τοῦτο ἐξωθούμενον, φέρεται περὶ τὰ πέρατα, ἅτινα στενότατα εἰσίν· καὶ λοιπὸν ἐκεῖ σφηνοῦται καὶ κώ-

λυμμα γίνεται τοῦ πνεύματος· τὸ δὲ πνεῦμα ἀδιάπνευστον ὄν, δριμύτερον γίνεται καὶ οὕτω ἀνάπτεται ὁ πυρετός. Φησὶν οὖν ὅτι οἱ μὲν *δακνώδεες* οἱ δὲ *πρηέες*· καὶ δακνώδεες μὲν εἰσίν, οἱ δριμυτάτην ἔχοντες τὴν θερμασίαν. Ἴσως δέ τις ἐρεῖ, τί φῄς, θερμασίαν παρὰ φύσιν, καὶ πραεῖαν αὐτὴν προσαγορεύεις; Καὶ λέγομεν, ὅτι εἴωθεν ὁ Ἱπποκράτης, τὰ ἧττον κακὰ τοῖς ἐναντίοις ὀνόμασι προσαγορεύειν· τὸ αὐτὸ δὲ καὶ ἐπὶ δύο ἐμβάσεων θερμῶν λέγομεν ὅτι αὐτὴ μὲν θερμή, αὐτὴ δὲ ψυχρά· καὶ ἰδοὺ τό ἧττον θερμὸν τὴν τοῦ ἐναντίου προσηγορίαν ἀπείληφεν. Μεμνῆσθαι δὲ δεῖ καὶ τοῦ εἰρημένου ἐν τῇ φυσικῇ, ὅτι ἐπὶ μὲν τῶν παιδίων ἡ θερμασία πραεῖα, ἐπειδὴ ὁ αἱματικὸς χυμὸς αὐτοῖς πλεονάζει, ὅς ἐστὶ θερμὸς καὶ ὑγρός, καὶ κολάζει τὴν δριμύτητα, ἐπὶ δὲ τῶν ἀκμαζόντων δριμυτέρα, ἐπειδὴ ἡ ξανθὴ χολὴ αὐτοῖς πλεονάζει, ἥτις ἐςὶ θερμὴ καὶ ξηρά· οἱ δὲ οὐ *δακνώδεες* μὲν *ἐπαναδιδόντες* δέ. Πῶς οὖν λέγομεν, ὅτι ποτὲ μὲν ἡ θερμασία ἅμα τῇ προσβολῇ τῆς χειρὸς διαφαίνεται, ποτὲ δὲ μετὰ χρόνον, καὶ φαμέν, ὅτι πρὸς τὴν ὑποκειμένην ὕλην· εἰ μὲν γὰρ λεπτοτέρα ἔστιν ἡ ὕλη καὶ εὐέξαπτος ἅμα τῇ προσβολῇ διαφαίνεται, εἰμή τι τῶν ἔξωθεν κωλύσει· οἷον διὰ πύκνωσιν, ἤ τί τῶν τοιούτων, εἰ δὲ παχεῖα καὶ δυσέξαπτος, χρόνῳ διαφαίνεται, ἔσθ' ὅτε γὰρ τῇ προσβολῇ τῆς χειρὸς λεπτύνεται ἡ ὕλη, καὶ τότε δημοσιεύει τὴν ἑαυτὴν δύναμιν. Βούλομαι δ' ὑμῖν εὐτακτοτάτην τὴν διαίρεσιν παραδοῦναι.

(ή.) *Διαφοραὶ πυρετοῦ.*

Τῶν γὰρ πυρετῶν οἱ μὲν δακνώδεες, οἱ δὲ πρηέες, καὶ οἱ μὲν *σφοδροὶ* οἱ δὲ *ἀμυδροὶ* οἱ δὲ *περικαεῖς*, οἱ δὲ *βληχροί*· ἀλλ' οὗτοι ἢ ἐξ ἀρχῆς εἰσὶν τοιοῦτοι, καὶ διαμένουσι μέχρι τέλους σώζοντες τὴν ἑαυτῶν δριμύτητα, ἢ ἐξ ἀρχῆς μὲν εἰσὶν τοιοῦτοι, τῷ δὲ χρόνῳ μειοῦνται· ἢ ἐξ ἀρχῆς οὐκ εἰσὶν τοιοῦτοι, ὕστερον δὲ προσλαμβάνουσι μέγεθος, ἤτοι αὔξησιν, οἷον, οἱ μὲν ἐξ ἀρχῆς σφοδροὶ εἰσὶ καὶ μένουσιν ἕως τῆς ἀπαλλαγῆς, τοιοῦτοι λέγονται *εὐθεῖς* καὶ *διαπαντός*· εἰ δὲ ἐν τῇ ἀρχῇ μὲν εἰσὶ τοιοῦτοι, τῷ δὲ χρόνῳ μειωθῶσι, λέγονται *εὐθεῖς* μὲν οὐ *διαπαντὸς* δέ, οἱ δὲ μήπω ὄντες τοιοῦτοι, τῷ δὲ χρόνῳ προ-

σλέξωσιν, λέγονται οὗτοι οὐχ εὐθεῖς μὲν διαπαντὸς δέ, καὶ ἔστιν οὗτος τοῦ πρώτου ἐναντίος· οἱ δὲ παρακαέες εὐθέως, οἱ δὲ διαπαντός, βληχροί, ξηροί, οἱ δὲ καὶ ἁλμυρώδεας. Τί φής· ἁλμυρώδεις πυρετοί; Πῶς ἔχομεν τοῦ γνῶναι· αὕτη γὰρ ἡ ποιότης, οὐκ ἁφῇ, ἀλλὰ γεύσει κρίνεται, ὥσπερ τὸ ὀξῶδες καὶ τὸ στρυφνόν. Τί οὖν λέγομεν, ὅτι ὥσπερ εἴρηται καὶ ἐν τῷ προγνωστικῷ περὶ τῶν ἱδρώτων· ὅτι δεῖ γινώσκειν, εἴτε ὀξώδεις εἰσίν, εἴτε πικροί· καὶ τοῦτο εἴπαμεν οὐ τῇ γεύσει τῇ οἰκείᾳ ὁ ἰατρὸς κρίνει αὐτά, ἀλλὰ τῇ τοῦ κάμνοντος, αἰσθήσει, ἤτοι ἀνακρίσει, τοῦτο διαγινώσκομεν· αἰσθανόμεθα γὰρ πολλάκις τῆς τοιαύτης ποιότητος, ὥσπερ γὰρ ἐὰν ἁλῶν, ἢ γάρου, ἤ τι τοιούτου αἰσθόμεθα, ἀνιαρὰ συναίσθησις ἡμῖν γίνεται καὶ τραχύτης, δυνατὸν οὖν ἡμᾶς, καὶ τῶν τοιούτων πυρετῶν συναισθάνεσθαι. Οἱ δὲ *πεμφιγώδεις δεινοί.* Τίνας καλεῖ πεμφιγώδεις, οὐ δυνάμεθα τοῦτο εἰπεῖν, εἰμὴ πρότερον μάθομεν τί πέμφιξ, καὶ κατὰ πόσων σημαινομένων φέρεται. Ἰστέον δέ, ὅτι τὸ τῆς πέμφιγος ὄνομα τριχῶς λέγεται· λέγεται γὰρ πέμφιξ καὶ ἡ ψυχὴ καὶ ἡ ἀκτὶς τοῦ ἡλίου, καὶ τὸ νέφος, καὶ αἱ πομφόλυγες, αἱ ἐκ τοῦ ὑετοῦ γινόμεναι· καὶ οἱ μὲν τὴν ἀκτῖνα εἰρηκότες, λέγουσιν, ὅτι περὶ τοῦ πυρετοῦ λέγει, τοῦ ἀπὸ ἐγκαύσεως γινομένου, οὐκ ἀποδεκτέοι δέ εἰσιν, οὐδὲ γὰρ εἰσὶ δεινοὶ εἰς τὸ ὁρᾶσθαι· ἕτεροι δὲ πέμφιγα καλοῦσι τὴν ψυχήν, καὶ ἐντεῦθεν δηλοῦσι τὸν μετὰ παραφροσύνης πυρετόν, ὅθεν τοῦτο πιστοῦται ἐκ τοῦ παραφέρειν ἴδια αὐτόν, δεινοὶ γὰρ οἱ τοιοῦτοι καὶ φοβεροί εἰσιν καὶ εἰς τὸ ὁρᾶν, καὶ γὰρ ἀγριαίνουσιν καὶ ἀτενῶς ὁρῶσιν· οὐκ ἔστι δὲ οὐδὲ τοῦτο, ἀλλὰ πέμφιγα φαμὲν εἶναι τὴν πομφόλυγα, ἥτις ὑγρότης ἐστί, περιέχουσα ἐν αὐτῇ πνεῦμα, καὶ ὑπὸ τούτου μετεωριζομένη. Πυρετοὺς οὖν πεμφιγώδεις, φησί, τοὺς μετὰ ἀνθράκων, ἢ φλυκταινῶν γινομένους, τούτους γὰρ ἰδεῖν δεινοί. Ἰστέον οὖν, ὅτι αὕτη ἡ ὕλη τριττή· ἢ γὰρ πνεῦμα ἐστίν, ἢ ὑγρά, ἢ στερεά, ταῦτα διάφορα ὄντα διάφορα σχήσουσι καὶ τὰ ἀνάματα· καὶ γὰρ ἄλλως μὲν πάσχει ὁ ἐγκέφαλος, ἄλλως ἧπαρ καὶ γαστήρ, καὶ πάντα ἁπλῶς εἰπεῖν τὰ στερεά, πρὸς τὴν διαφορὰν αὐτῶν ἕξουσι καὶ τὰ νοσήματα· πάλιν δὲ ὁμοίως καὶ τὰ ὑγρά. Μεμαθήκατε γὰρ καὶ τούτων διαφορὰν ὅτι ἄλλο ἐστὶν

αἷμα καὶ ἄλλο φλέγμα, καὶ ἄλλο ξανθὴ χολὴ, καὶ ἄλλο μελαγχολικὸς χυμός. Ὁμοίως δὲ καὶ τὸ πνεῦμα μὴ νομίσης δὲ, ἐπειδὴ ἑνικῇ φωνῇ ἐχρησάμην ἓν εἶναι καὶ ζητεῖν τὸ πνεῦμα· καὶ γὰρ καὶ τοῦτο ἔχει διαφοράς· ἔστι τοίνυν ψυχικὸν, ὅπερ ἐν τῷ ἐγκεφάλῳ καθίδρυται καὶ ἐν τοῖς νεύροις· τοῦτο δὲ τὸ ψυχικὸν πνεῦμα ὄργανον ὑπάρχει τῆς ψυχῆς, καὶ διὰ τοῦτο ψυχικὸν ὀνομάζεται· ἀλλὰ μὴν ἔτι καὶ ζωτικὸν πνεῦμα, ὅπερ ἐν τῇ καρδίᾳ καὶ ἐν ταῖς ἀρτηρίαις περιέχεται, ἐξαπλούμενον παρ' ὅλον τὸ σῶμα ἀκτινοειδῶς, καὶ ζωὴν χορηγοῦν, τουτέστι τὴν ἔμφυτον θερμασίαν. Ἔστι δέ καὶ φυσικὸν πνεῦμα, ὅπερ ἐκ τῶν τροφῶν τίκτεται, καί ἐμπεριέχεται ἐν τῷ ἥπατι. Αὗται εἰσὶν αἱ γενικαὶ διαφοραὶ τῶν νοσημάτων, συνιστάμεναι ἔν τε τοῖς πνεύμασι, τοῖς ὑγροῖς, καὶ τοῖς στερεοῖς. Ἀλλ' εἴς τις ἡμᾶς ἐρωτᾷ, δυνατὸν ἔστιν ἑνὸς παρατρεπομένου ἄτρεπτα μένειν καὶ ἀπαθῆ τὰ λοιπὰ, ἢ πάντως ἀδύνατον; Οὐχί. Ὁ γὰρ Ἱπποκράτης ἔφη, *σύῤῥοια μία, ξύμπνοια μία, τὰ πάντα ξυμπαθέα.* Τί πρὸς ταῦτα ἐροῦμεν; καὶ φαμὲν ὅτι, κἂν ἐγχωρῇ ἑνὸς παρατρεπομένου, καὶ παρὰ φύσιν γινομένου, τὰ λοιπὰ μένει ἀπαθῆ: Καὶ γὰρ καὶ ὁ λόγος τοῦτο δείκνυσιν, ἔτι μὴν καὶ ἡ πεῖρα καὶ χρησώμεθα παραδείγματι. Ὑποκείσθω λέβης τεθερμασμένος, διάπυρος, κενὸς, καὶ ὕδωρ ψυχρὸν· τοῦτο τὸ ὕδωρ ἐπιχέομεν εἰς τὸν λέβητα, καὶ ἀψόμεθα τὸ ὕδωρ, καὶ εὑρήσομεν μήπω θερμανθὲν καὶ διάπυρον γενόμενον ἐν ἕξει· ὁ μὲν γὰρ λέβης τότε ἐν ἕξει μὲν ἔχει τὴν θερμασίαν, σχέσει δὲ τὸ ὕδωρ· ἄλλο γάρ ἐστὶ σχέσις καὶ ἄλλο ἕξις· ἕξιν μὲν λέγομεν ἔχειν τὴν θερμασίαν, σχέσιν δὲ λέγομεν θερμαίνεσθαι τὸ ὕδωρ, καθόσον ἡ μετάδοσις τῆς θερμασίας ἐφάπτεται τοῦ ὕδατος. Καὶ ἐντεῦθεν ἡμῖν ἀναφαίνεται ὅτι δυνατὸν τῶν ςερεῶν πρῶτον ἐφάπτεσθαι τὸν πυρετὸν, εἶθ' οὕτως καὶ κατὰ μετάδοσιν πάσχειν καὶ τὰ ὑγρὰ, ἢ καὶ τὰ πνεύματα. Ἁρμόσωμεν οὖν ἐξ ἀντιστρόφου τὸ αὐτὸ παράδειγμα καὶ εἰς τὸν ἐπὶ ὑγροῖς πυρετὸν. Ὁ αὐτὸς λέβης ὑποκείσθω, πλὴν μηκέτι διάπυρος, ἀλλὰ ψυχρός· ἐνεγκάτω οὖν τις ὕδωρ θερμὸν καὶ διάπυρον καὶ ἐπιχεέτω κατὰ τοῦ λέβητος, εὑρήσωμεν πάλιν ἐνταῦθα τὸ μὲν ὕδωρ ἕξει ἔχοντα τὴν θερμασίαν, τὸν δὲ λέβητα σχετικῶς θερμαινόμενον. Καὶ τί πάλιν ἐνταῦθα καρπούμεθα, ὅ-

τι των ὑγρων παγέντων, καὶ ἐν ἕξει ἐχόντων τὸν πυρετὸν, ἀπαθῆ μένουσι τὰ στερεὰ, μόνον δὲ σχετικῶς ἔχοντα τὴν θερμασίαν. Ἰδοὺ τῶν δύο γενικῶν πυρετῶν ἔχεις τὸ παράδειγμα, τοῦ τε ἑκτικοῦ τοῦ ἐπὶ στερεοῖς, καὶ τοῦ ἐπὶ ὑγροῖς. Ἄρα δὲ ἀπορῶμεν καὶ παραδείγματος ἐπὶ τῶν ἐφημέρων, καὶ τούτου ὁ Γαληνὸς παράδειγμα προτίθησι. Νοησόν μοι φῦσαν χαλκευτικὴν, ταύτην δὲ πλησίον κειμένην τῆς καμίνου καὶ ἐν τῷ ἐνεργεῖν, ἐπισπᾶσθαι πρὸς ἑαυτὴν θερμὸν ἀέρα διὰ τοῦ αὐλοῦ· καὶ τί λέγομεν τότε; ὅτι τὸ πνεῦμα τὸ ἐν αὐτῇ περιεχόμενον ἕξει θερμὸν ἐστὶ, σχετικῶς δὲ αὐτὴ θερμαίνεται (α) Περὶ τοῦ τοιούτου τοίνυν πυρετοῦ καὶ Ἱπποκράτης ἐν ἐπιδημίαις φησὶν, ὅτι πυρετοὶ, οἱ μὲν *ὀξέες* οἱ δὲ *συνεχεῖς* καὶ διὰ μὲν τοῦ εἰπεῖν ὀξέες, ἐδήλωσε τὸν τριταῖον, διὰ δὲ τοῦ συνεχέες τὸν ἀμφημερινόν. Ἵνα δὲ μὴ νομίσῃς ὅτι ὅλος ὁ πυρετὸς συνεχὴς ἐστὶ, προστέθηκε τὸ μὲν *ὅλον οὐ διαλειπόντες* Ἐπειδὴ γὰρ ὁ μὲν τριταῖος ἀπαιτεῖ διάλειμμα, ὁ δὲ ἀμφημερινὸς συνέχειαν, διὰ τοῦτο μέσῃ φωνῇ χρησάμενος, εἶπε, τὸ μὲν ὅλον *οὐ διαλείποντες*. Ὁ αὐτὸς δὲ καὶ τὸ σπάνιον παραδοῦναι ἔλεγεν, ὅτι ποτὲ ἐναντίῳ γίνεται· ὅτι ἐν τῇ πρώτῃ ἡμέρᾳ εἰσβάλλει μὲν ὁ ἀμφημερινὸς, ἐν δὲ τῇ δευτέρᾳ ὁ τριταῖος, καὶ οὕτως ἐφεξῆς.

§. (θ'.) *Πόσαι διαφοραὶ τοῦ φλέγματος, καὶ ποῖαι αὐτῶν ποιοῦσι νοσήματα.*

Τοῦ φλέγματος διαφοραὶ εἰσί τέσσαρες, τὸ ὑαλῶδες, τὸ ὀξῶδες, τὸ ἁλυκὸν καὶ τὸ ἄποιον. Καὶ τὸ μὲν ὑαλῶδες καὶ

(α) **Addenda ex codic xi Plut 74.** Δυνατὸν ἄλλοτε ἐξ ἄλλου μορίου, τουτέστιν ἐξ ἄλλης ὕλης ἀνάπτεσθαι τὸν πυρετὸν· ποτὲ μὲν ἀπὸ τῶν στερεῶν ἄρχεσθαι, ποτὲ δὲ ἀπὸ τῶν ὑγρῶν, ποτὲ δὲ ἀπὸ τῶν πνευμάτων· καὶ συμπάσχειν μὲν πρότερον τὸ πνεῦμα, εἶθ' οὕτω τὸ ὑγρὸν, ὡς δυςπαθές. Νοησόν μοι ἕτερον παράδειγμα· ὕδωρ λεπτότατον καὶ κοῦφον ἐν ἐμβάσει λουτροῦ περιεχόμενον, ἀέρα δὲ παχὺ, ὁμιχλώδη· ὑποκαιέσθωσαν δὲ ἀμφότερα ἐκ τοῦ αὐτοῦ πυρὸς, καὶ ἐνταῦθα εὑρίσκομεν τὸ μὲν ὕδωρ πρῶτον θερμαθὲν, τὸν δὲ ἀέρα μήπω θερμανθέντα. Ἕτερον παράδειγμα. Ὑποκείσθωσαν κάλαμοι ξηροὶ, ἢ τι τῶν ταχέως ἐξαπτομένων, ὑποκείσθω δὲ καὶ ὕδωρ παχύτατον καὶ ἰλυῶδες· ἆρα ποῖον πρὸ τινος νομίζεις θερμαίνεσθαι; δῆλον ὅτι τὰ ξύλα. Ἔχεις οὐκοῦν ἐνταῦθα, ὅτι πρὸς τὴν ἐπιτηδειότητα ἕκαστον πάσχει.

ὀξῶδες ποιεῖ τ' ἀνεκθέρμαντα ῥίγη καὶ τοὺς ἠπιάλους πυρετούς. τὸ δ' ὑλικὸν, ὅταν μὲν σαπῇ, ποιεῖ τὸν ἀμφημερινόν· τὸ δὲ ἄποιον, ὡς κατὰ φύσιν ὑπάρχον, οὐδὲν τούτων ποιήσει. Ἰστέον δ' ὅτι ἅπαντες οἱ προειρημένοι χυμοὶ, εἰμὴ σαπῶσιν, εἶδος πυρετοῦ οὐ ποιοῦσιν. Αἱ μὲν οὖν ὑποθέσεις τῶν πυρετῶν τὸ θερμὸν, καὶ τὸ ψυχρὸν, καὶ τὸ ξηρὸν, καὶ τὸ ὑγρὸν ἐςὶν, ἅτινα στοιχεῖα τῶν σωμάτων ἡμῶν εἶναι λέγομεν, καὶ γίνεσθαι τὰς νόσους, ἐπὶ δυσκρασίᾳ τούτων, ὧν μίαν εἶναι φαμέν· ἐπειδὰν ἐν τῇ καρδίᾳ ἐξ αὐτῶν τῶν προκαταρκτικῶν αἰτίων παρὰ φύσιν θερμότερος γένηται, οἷον φροντίδος, ἀγρυπνίας, λύπης, θυμοῦ, ἀπεψίας, κόπου, ψύξεως, ἐκκαύσεως, μέθης, καὶ τῶν τοιούτων. Ἡ δὲ διαφορὰ τῆς θερμότητος ἀπὸ τῆς τῶν ὑλῶν διαφορᾶς λαμβάνεται, τῆς δεχομένης τὴν πυρετώδη θερμότητα· τρεῖς γὰρ εἰσὶ κατὰ γένος, ἢ ἐν αὐτῷ τῷ σώματι τῆς καρδίας ἀναπτομένη ἀεὶ, ἢ ἐν τοῖς χυμοῖς, ἢ ἐν τοῖς πνεύμασιν· ὁ γὰρ πυρετὸς τροπὴ ἐστὶ τοῦ ἐμφύτου θερμοῦ ἐπὶ τὸ θερμότερον καὶ δριμύτερον. Τὸ δ' ἔμφυτον θερμὸν, τὸ ἐν τῇ καρδίᾳ, κέκλεισται μὲν ὑπὸ τῶν τεσσάρων χυμῶν, συνίςαται δὲ ἐν ὅλῳ τῷ σώματι. Πόσαι ποιότητες φλέγματος; Τέσσαρες, ἡ παρὰ τὴν σύστασιν, ἡ παρὰ τὴν χροιὰν, ἡ παρὰ τὴν γεῦσιν, ἡ παρὰ τὴν κρᾶσιν ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων χυμῶν αἱ αὐταὶ εἰσίν.

(ι'.) *Διὰ πόσας αἰτίας ἀνάπτονται οἱ πυρετοί.*

Ἀνάπτονται δὲ οἱ πυρετοὶ διὰ πέντε αἰτίας, ἢ διὰ πρόσθεσιν ἐπιτηδείας ὕλης, ἢ διὰ κίνησιν, ἢ διὰ στέγνωσιν, ἢ διὰ σῆψιν, ἢ διὰ προσομιςίαν ἑτέρου θερμοῦ. Καὶ διὰ μὲν πρόσθεσιν ἐπιτηδείας ὕλης, ὡς ὅταν θερμόν τι προςενεχθῇ ἀνθρώπῳ, θερμὴν ἔχον τι τὴν κρᾶσιν, οἷον πέπερι, νᾶπι σκόροδον, καὶ τὰ τούτοις ὅμοια, καὶ ἀναδιδομένη ἡ τούτων ποιότης εἰς τὴν καρδίαν, ἐκπυρώσει τὸ ἐν αὐτῇ ἐνεὸν ἔμφυτον θερμὸν, καὶ ἐξάψει πυρετόν; Τί ἐςὶ κίνησις; ἐξάλλαξις τοῦ προϋπάρχοντος. Ποσαχῶς ἡ κίνησις; Διχῶς *ψυχικὴ* καὶ *σωματική*· καὶ ψυχικὴ μὲν ὡς ἐπὶ θυμῷ καὶ φροντίσι καὶ λύπῃ· ὁ γὰρ πυρετὸς ζέσις ἐστὶ καὶ κίνησις σφοδρὰ τῆς θερμασίας, δηλονότι

τῷ σώματι τῆς καρδίας καθιδρυμένῃ· συναναθερμαίνεται δὲ αὐτὴ ποτὲ μὲν ὑπὸ τοῦ πνεύματος, ἔστι δ' ὅτε καὶ ἡ τοῦ αἵματος οὐσία· καὶ εἰ μὲν ὑποδεχθέντα κατασχεθῇ, ἐπὶ πολὺ τὴν θερμασίαν ἀνάπτει, καὶ ἂν ἀπὸ τῆς καρδίας ἡ κίνησις καταστῇ, διαμένει ταῦτα παρὰ τὴν φύσιν θερμά, κἀντεῦθεν πυρέττει· ὁ δ' ἐπὶ λύπῃ πυρετός, οὐκέτι ζέσιν, ἀλλὰ κίνησιν ποιεῖται τοῦ ἐμφύτου θερμοῦ, τοῦ ἐν τῇ καρδίᾳ, καὶ ἀνάπτει πυρετόν· ὁ δ' ἐπὶ κόπῳ τοῦ σώματος, κίνησιν ποιεῖται πλείονα νεύρων καὶ μυῶν καὶ συνδέσμων καὶ ἄρθρων, ἃ δὴ καὶ πρῶτα θερμαίνεται, τῇ κινήσει τοῦ σώματος. Διὰ δὲ στέγνωσιν, ἤτοι πύκνωσιν τοῦ δέρματος, ἀνάπτεσθαι πυρετόν, ὁποῖος μάλιστα τοῖς συμπυκνωθεῖσιν εἴωθεν· Εἰ μὲν ἐν τῇ ἐπιφανείᾳ ἐστὶν ἡ πύκνωσις, ἢ ἐπὶ ψύξιν ἐστίν, ἢ ἐπὶ ξηρότητα, ἢ ἐπὶ στύψιν, καὶ ἀνάπτει πυρετόν· ἀθροιζομένης γὰρ ἐν τῷ σώματι τῆς δακνώδους ἀποῤῥοῆς καὶ τῶν περιττωμάτων, ἀνάπτεται ὁ πυρετός· εἰ δὲ ἐν τῷ βάθει εἴη, ἢ ἐπὶ πλήθει χυμῶν, ἢ ἐπὶ παχύτητι ἢ ἐπὶ γλισχρότητι, εἰ μὲν ἀτμῶδες εἴη τὸ περιεχόμενον ποιεῖ πληθώραν, εἰ δὲ καπνῶδες, ἢ λιγνῶδες ποιεῖ ἐφήμερον πυρετόν· διαπνεῖται γὰρ ἀεὶ τὰ τῶν ζώων σώματα, κατὰ διττὸν τρόπον ἀποχρωμένων εἰς τοὐκτὸς τὰ τῶν καπνωδῶν καὶ λιγνυωδῶν περιττωμάτων. Κλειομένης ἐκεῖσε τῆς ἐμψυχούσης τε καὶ ῥιπιζούσης τὸ κατὰ φύσιν θερμὸν ἀερώδους οὐσίας, ἐπειδάν τις αἰτία τὸ δέρμα πυκνώσῃ, ἢ τὰς διόδους στεγνώσῃ, πυρετὸν ἀνάπτει, δριμὺ δὲ ἀποῤῥεῖ καὶ δακνῶδες περίττωμα τοῖς φύσει κακοχύμοις, καὶ τοῖς μοχθηρὰ ἐδέσματα ἑαυτοῖς προσφέρουσιν, ὡς πολλάκις ἀπαντοῦσι. Τὸ δὲ πλῆθος τούτων ἢ πρὸς τὰ ἀγγεῖα ἐστίν, ἢ πρὸς τὴν δύναμιν καὶ τὴν ποιότητα, καὶ ποιεῖ πυρετόν, ἀσθενούσης δηλονότι τῆς δυνάμεως, καὶ μὴ δυναμένης μεταβαλεῖν τὸ ἄχρηστον εἰς χρηστόν. Εἰ δὲ πρὸς τ' ἀγγεῖα ᾖ, τὸ πλῆθος δριμὺ ἐστὶν ἢ γλίσχρον καὶ παχύ, καὶ ποιεῖ τὸν ἐπὶ σήψει πυρετόν. Εἰ γὰρ μή, ὡς προεῖπον, σαπῇ, οὐ ποιεῖ πυρετόν, εἰ δὲ δριμὺ εἴη, κἂν μὴ σαπῇ, ἀλλὰ τὸν ἐπὶ ζέσει ποιεῖ πυρετόν.

(ιά.) *Ποῖα τῶν πυρετῶν γένη καὶ τίνες αἱ διαφοραί.*

Τῶν πυρετῶν διτταὶ εἰσίν, ὡς εἴπομεν αἱ διαφοραὶ οὐσι-

ώδεις καὶ ἐπουσιώδεις. Τὰ δὲ γένη αὐτῶν τρία εἰσίν· τὰ μὲν γὰρ αὐτῶν ἐπὶ ὑγροῖς γίνονται, τὰ δὲ ἐπὶ στερεοῖς, τὰ δὲ ἐπὶ πνεύμασι.

(ιβ'.) *Πόσοι συνεχεῖς καὶ πόσοι διαλείποντες.*

Ἰστέον ὅτι τρεῖς εἰσὶν συνεχεῖς, καὶ τρεῖς διαλείποντες· τριταῖος καὶ τεταρταῖος. Οὗτοι πότε μὲν γίνονται συνεχεῖς, πότε δὲ διαλείποντες. *Καὶ ποίῳ τρόπῳ γίνονται οὕτως*; Ὁπόταν ἂν τὸ εἶδος ἑκάστου τούτων τῆς ὕλης εὑρεθῇ σαπὲν, εἰ μὲν ἐντὸς τῶν ἀγγείων, τοὺς συνεχεῖς πυρετοὺς ἐργάζεται, εἰ δὲ ἐκτὸς, ποιεῖ τοὺς διαλείποντας. Καὶ ὁ μὲν τεταρταῖος ἐπὶ σπληνὶ κακοπραγοῦντι συνίσταται, ὁ δὲ ἀμφημερινὸς ἐπὶ στομάχῳ κακοπραγοῦντι, ὁ δὲ τριταῖος ἐπ αὐτῇ τῇ χοληδόχῳ κύτει.

(ιγ'.) Ποίῳ *τρόπῳ γίνονται νόθοι ἀμφημερινοὶ τριταῖοι καὶ τεταρταῖοι, καὶ ποῖοι τῶν νόθων εἰσὶν εὐήθεις, καὶ ποῖοι κακοήθεις.*

Γίνονται μὲν οὖν νόθοι τεταρταῖοι, ὁπόταν οὐ κρατῇ ὁ μελαγχολικὸς χυμὸς ἐν τούτοις, ἀλλὰ σαπῇ μὲν πλεῖον τὸ μελαγχολικὸν περίττωμα, ἧττον δὲ τὸ ξανθοχολικόν· τὸ αὐτὸ δὲ καὶ ἐπὶ ἀμφημερινῶν, ὅταν τὸ φλέγμα οὔτε ἄκρατον, ἀλλὰ τῷ ξανθοχολικῷ χυμῷ μεμιγμένον ᾖ· καὶ οὗτοι μὲν οἱ νόθοι τριταῖοι νόσου πραΰτεροι, ὁ δέ γε νόθος τριταῖος, τούτων κακοηθέστερος διὰ τὴν ξανθὴν χολὴν, μὴ ἄκρατον, ἀλλὰ καὶ φλεγματώδους, οὐκ ὀλίγης ὑγρότητος μετέχειν αὐτήν· ἡ γὰρ ἄκρατος τὸν μακρότατον ἀκριβῆ τριταῖον ἐν ἑπτὰ περιόδοις συνίστησι, τὸν δὲ οὐκ ἀκριβῆ τριταῖον, φησὶν ὁ Γαληνὸς οἶδα ποτὲ φθινοπόρῳ μὲν ἀρξάμενον, ἦρος δὲ παυσάμενον.

(ιδ'.) *Πῶς γίνεται ἡ πληθώρα.*

Ἡ δὲ πληθώρα γίνεται ὅταν αἵματος πληρωθῶσι τ' ἀγγεῖα, τὸ δ' ἀτμῶδες τοῦ αἵματος καταῤῥέον (α) ἔρχεται (β) εἰς τὰς κενὰς χώρας, καὶ ἐκ τῆς αὐτοῦ ὑγρασίας πληροῦνται αἱ κεναὶ χῶραι τῶν ἀγγείων, καὶ ποιοῦσι πληθώραν.

(α) In margine ἀντικαταῤῥέον (β) ἐξέρχεται.

(ιέ.) Τί στέγνωσις καὶ ἔμφραξις.

Στέγνωσιν μὲν δὴ καλεῖ τὴν ἀπὸ ἡλιοκαΐας, ἢ στυπτηριωδῶν ὑδάτων, γενομένην περὶ τοὺς πόρους τοῦ δέρματος, ἢ καὶ ἀπὸ τῆς καταψύξεως, ἥτις ποιεῖ ἐφήμερον πυρετόν· *ἔμφραξιν* δὲ καλεῖ τὴν ἐπὶ παχέων καὶ γλίσχρων χυμῶν γινομένην περὶ τὰς ἐν τῷ βάθει διόδους, ἥτις ποιεῖ τὸν ἐπὶ σήψει πυρετόν.

(ις'.) Διατὶ ἐπὶ τῶν ἀπεπτησάντων, οἱ μὲν ἐπύρεξαν, οἱ δὲ οὐδαμῶς.

Τοῖς μὲν κακοχύμοις, ἢ σαπῶς διαιτωμένοις, ἢ πονήσασιν ἀκαίρως, ἢ λυσαμένοις προπετέστερον, ἕτοιμον παρέξαι· τοῖς δ' εὐχύμοις καὶ καλῶς διαιτωμένοις, ἡσυχάσασί τε καὶ θάλψασι τὴν γαστέρα καὶ τὸ ἧπαρ, ἀδύνατον πυρέξαι.

(ιζ'.) Πόθεν καὶ πῶς γίνονται τὰ λοιμικὰ νοσήματα καὶ τίς ἡ αἰτία τούτων.

Τῶν δὲ λοιμικῶν νοσημάτων, ἡ εἰπνοὴ μάλιστα αἰτία· γίνεται δὲ ποτὲ καὶ διὰ τοὺς ἐν τῷ σώματι χυμοὺς, ἐπιτηδείους πρὸς σῆψιν ὑπάρχοντας, ὅτ' ἂν ἀφορμήν τε τινὰ βραχεῖαν ἐκ τοῦ περιέχοντος πυρετοῦ λάβῃ τὸ ζῶον, ὡς τὰ πολλὰ δὲ ἐκ τῆς ἀναπνοῆς τοῦ πέριξ ἀέρος, ὑπὸ σηπεδωνώδους ἀναθυμιάσεως μιανθέντος.

(ιή.) Τίς ἡ τῆς σηπεδόνος ἀρχή.

Ἡ δὲ ἀρχὴ τῆς σηπεδόνος ἤτοι πλῆθός τι νεκρῶν ἐστὶ, μὴ καυθέντων ἐν πολέμοις, ἢ ἐκ τέλματος, ἢ λιμνῶν, ἢ βαράθρου τινὸς περικειμένου, καὶ ἀναθυμίασιν δηλητηριώδη καὶ πονηρὰν ἀναπέμποντος ὥρᾳ θέρους· τὸ δὲ εἶναι καὶ τοὺς κατὰ σῶμα χυμοὺς ἐκ πονηρᾶς διαίτης ἐπιτηδείους πρὸς τὴν σῆψιν, ἀρχὴ τοῦ λοιμώδους γίνονται πυρετοῦ· οὐδὲν γὰρ τῶν αἰτίων ἄνευ τῆς τοῦ πάσχοντος ἐπιτηδειότητος ἐνεργεῖν πέφυκε· καὶ ψύξις πολλάκις ἤνεγκε νοσήματα· πυκνοὶ γὰρ τὴν ἐπιφάνειαν, ἀδιαπνευστοῦσιν οἱ χυμοὶ, καὶ τῇ σήψει ποιοῦσι πυρετόν. Ἀλλὰ καὶ ἐπὶ ξηρότητι λοιμικὰ νοσήματα γίνονται, καθὰ φησὶν

ὄμηρος *κύνας ἀργοὺς*, ὡς ξηρότερον πάθος πρῶτον, ὥςπερ καὶ αἱ θερμότεραι τοῦ περιέχοντος ἡμᾶς ἀέρος καταστάσεις· οἷα περὶ κυνὸς ἐπιτολὴν ἄρτι, διὰ μὲν τῆς εἰςπνοῆς θερμαίνουσι τὴν καρδίαν, ἔξωθεν δὲ περικεχυμένου τῷ σώματι σύμπαντος τοῦ θερμοῦ ἀποθερμαίνουσι, καὶ μάλιστα τὰς ἀρτηρίας, ὡς ἀνελκούσας τι τοῦ περιέχοντος ἀέρος. Συνδιατίθεσθαι δὲ τὴν καρδίαν, καὶ τὸ ἐν αὐτῇ ἔμφυτον θερμὸν, καὶ θέρμης ἀμέτρου γινομένης, τὴν πυρετώδη διάθεσιν ἴσχειν.

(ιθ΄.) Πῶς διὰ σῆψιν γίνεται πυρετός.

Ὅταν οἱ χυμοὶ σαπῶσιν ἐν τῷ βάθει καὶ ἀναδοθῇ τούτων ἡ σῆψις ἐν τῇ καρδίᾳ, καὶ μολύνῃ αὐτῆς τὸ ἔμφυτον θερμὸν ἀνάπτει πυρετόν. Διὰ δὲ προσομιλίαν θερμοῦ, ὡς ὅταν ἐν ἡλίῳ θερμανθῇ ἡ κεφαλὴ ὑπὲρ πολλὰς καὶ τὸ δικτοειδὲς πλέγμα, καὶ διὰ τῶν ἀρτηριῶν μεταδοθῇ τῇ καρδίᾳ καὶ ἐξάψῃ τὸν πυρετόν.

(κ΄.) Περὶ σημείων εἰσβολῆς πυρετοῦ.

Σημεῖα δὲ εἰσβολῆς πυρετοῦ ταῦτα· ἡ ἐκ τοῦ βάθους ἀναδιδομένη θερμασία, χάσμη, σκορδινισμὸς, ναυτίαι, ἔμετος, καταφορὰ πρὸς ὕπνον, βήχιον μικρὸν, ὑπότραχυ, ἄκρων κατάψυξις· καὶ ταῦτα μὲν τὰ ἔξωθεν γνωρίσματα. Ἀπὸ δὲ τῆς τῶν σφυγμῶν κινήσεως διαγινώσκεται ἡ εἰσβολὴ τοῦ πυρετοῦ ἔκ τε τῆς σμικρότητος καὶ τῆς ἀνωμαλίας καὶ τοῦ διαλείπειν. Καὶ ἐν μὲν τῇ ἀρχῇ τῆς εἰσβολῆς τοῦ παροξυσμοῦ κατεπείγει μᾶλλον ἡ συστολὴ τοῦ σφυγμοῦ μετά τινος ἀνωμαλίας καὶ σμικρότητος· ἐν δὲ τῇ ἀναβάσει μοχθηροί πως γίνονται, ἐπαυξανομένης τῆς διαστολῆς μέχρι τελείας ἀκμῆς. Ἐπιτεινομένης δὲ τῆς θερμασίας, πρῶτον τὸ μέγεθος αὔξεται, εἶτα προσλαμβάνεται δὲ καὶ τὸ τάχος. Ὅταν γάρ ἱκανῶς ἐκπυρωθῇ ὁ πυρετὸς, μεγάλους ἅμα τε καὶ ταχεῖς ἐργάζεται τοὺς σφυγμούς· εἰ δὲ πλέον, καὶ τούς πυκνοὺς

(κά.) Πῶς γίνονται ἱδρῶτες ἐπὶ τῶν πυρετῶν;

Ἕπονται δὲ τοῖς πυρετοῖς καὶ ἱδρῶτες τρόπῳ τοιούτῳ· ὁπόταν οἱ ἀτμοὶ ἤγουν ὁ ἀὴρ κρατηθῇ ἔνδον τοῦ σώματος καὶ διάπυρος γένηται ὑπὸ τῆς θερμότητος, διαχέει τὰ περιεχόμενα

ὑγρὰ ὑπὸ τῆς ἔνδοθεν ὠθούμενα ἐν ὅλῳ τῷ σώματι, καὶ προσπίπτοντα ἐπὶ τοὺς πόρους τοῦ σώματος ἐξωθεῖ τὰ περιεχόμενα περιττώματα, καὶ ποιεῖ τοὺς ἱδρῶτας διαχεόμενα ἔξωθεν· οὕτω γὰρ οἱ ἀτμοὶ συνιστάμενοι εἰς τὸ ὕδωρ ἀναλύονται, καὶ δὴ ἐπὶ τῶν ἑψομένων ὑδάτων ἔστιν ἰδεῖν. Πόσα γενεσιουργὰ αἴτια τῶν ἱδρώτων; Τέσσαρα. Ποιητικὸν αἴτιον, ὀργανικὸν, καὶ τελικόν· καὶ ποιητικὸν μὲν αἴτιον τῶν ἱδρώτων οὐχ' ἕν, ἀλλὰ πλείονα, τὸ ὧν πρῶτον τὸ δι' ἀσθένειαν καὶ καταβολὴν τῆς καθεκτικῆς δυνάμεως ποιοῦν τοὺς ἱδρώτας. Τοιγὰρ ὅτι τὸ λόγῳ τροφῆς φερόμενον ἐν ὅλῳ τῷ σώματι διὰ τὴν ἀσθένειαν οὐ κατέχεται ὥςτε ἀλλοιωθῆναι ἢ πεμφθῆναι καὶ ἐξομοιωθῆναι, ὅπερ μὴ κατεχόμενον κενοῦται ἱδροτοειδῶς, δίκην ἀψύχου· δεύτερον, τὸ ἐπὶ πλημμελεῖ βλάβῃ τῆς ἀποκριτικῆς δυνάμεως γινόμενον. Τοιγὰρ ὅτι τῆς ἀποκριτικῆς δυνάμεως πλημμελῶς βεβλαμμένης οὐκ ἀναμένει ἡ ἀπόκρισις τὴν ἀλλοίωσιν καὶ τὴν πέψιν τῆς τροφῆς, ἀλλὰ πλημελῶς ἐνεργοῦσα, ἐπεγείρεται πρὸς ὥρας, καὶ ἀποκρίνει τάχιον τῷ λόγῳ τροφῆς τοῦ σώματος αὐτῷ προςενεχθὲν καὶ ποιεῖ τοὺς ἱδρῶτας. Τρίτον· τὸ ἀπὸ τῶν ἔξωθεν προσομιλοῦν βιαστικῶς καὶ προςπίπτον, ὡς ἡλιοκαΐα· τῇ γὰρ προσομιλίᾳ τῆς θέρμης ἐπισπᾶται βίᾳ τινὶ τὴν ἔνδοθεν ὑγρότητα τοῦ σώματος, καὶ ποιεῖ τοὺς ἱδρῶτας. Ἀλλὰ καὶ ἀλοιφαὶ θερμότεραι ποιοῦσιν ἱδρῶτας, καὶ τὰ θερμὰ καὶ δριμέα φάρμακα ἐπιτιθέμενα ποιοῦσιν ἱδρῶτας, τούτων δὲ ἓν εἶδος ἐςὶ καὶ τὸ λουτρὸν, καὶ γὰρ τὸ λουτρὸν βία τινὶ ἐπισπᾶται τῇ θερμότητι τοῦ ἀέρος, καὶ ποιεῖ τοὺς ἱδρῶτας. Τέταρτον αἴτιον ἱδρώτων. Τὸ διὰ σύντηξιν τῆς πιμελῆς γινόμενον, καὶ γὰρ ἐπὶ δαπάνῃ καὶ συντήξει τῆς πιμελῆς γίνονται ἱδρῶτες· καθ' ἣν καὶ αἱ συγκοπαὶ ἐπακολουθοῦσι. Γίνεται δὲ τοῦτο ἐπὶ ὀξεῖ καὶ διακαεῖ πυρετῷ, καὶ ἐπὶ κακοηθείᾳ τοῦ νοσήματος, λέγω δὲ τῇ συντήξει τῆς πιμελῆς, καθ' ἣν καὶ αἱ συγκοπαὶ γίνονται καὶ οἱ ἱδρῶτες οἱ συγκοπικοὶ λεγόμενοι. Ὀργανικὸν δὲ αἴτιον τῶν ἱδρώτων οἱ πόροι, δι' ὧν διέρχονται οἱ ἱδρῶτες. Τί ἐστὶν ὑλικὸν αἴτιον τῶν ἱδρώτων; Κόπος. Τελικὸν δὲ αἴτιον τῶν ἱδρώτων, ἡ ἑπομένη εὐφορία καὶ δυσφορία τῶν οὕτως εἰρημένων.

(κβ'.) Πῶς γίνονται πόνοι τῆς κεφαλῆς.

Γίνονται δὲ καὶ οἱ πόνοι τῆς κεφαλῆς ἐπὶ τῶν πυρεττόντων, ὅταν αἱ φλέβες πλησθῶσι τῇ βίᾳ καὶ τῇ τάσει τῶν συνερχομένων ἔνδον πνευμάτων, ἀνάγκη πάντως τὴν κεφαλὴν ἀπὸ τούτων ἀλγεῖν.

(κγ'.) Περὶ ἐφημέρων πυρετῶν τε καὶ τῆς αὐτῶν διαγνώσεως.

Εἰρηκότες οὖν τὰ γένη καὶ τὰ εἴδη τῶν πυρετῶν, εἴπωμεν λοιπὸν καὶ περὶ ἐφημέρου πυρετοῦ, συνόχου, ἑκτικοῦ καὶ μαρασμοῦ. Καὶ λέγομεν ὅτι οἱ μὲν ἐφήμεροι πυρετοὶ τοῦ πνεύματος αὐτοῦ μόνου ὑπάρχουσι παθήματα ἐπὶ προκαταρκτικῇ τινι αἰτίᾳ γινόμενοι, οἷον κόπῳ, μέθῃ, φροντίδι, καὶ ἀγρυπνίᾳ καὶ ἀπὸ προσκόμματος τοῦ βουβῶνος. Διαγινώσκονται δὲ οὗτοι πρῶτον μὲν ἀπὸ (τῶν) σφυγμῶν, δεύτερον δὲ ἀπὸ τῶν οὔρων· καὶ ἀπὸ μὲν τῶν σφυγμῶν, ὅτι ἐπ' αὐτῶν ἀτμωδεστέρᾳ φαίνεται καὶ ἔνυδρος ἡ ἀφὴ τοῦ σώματος (τῆς) ἀρτηρίας, καὶ οἱ σφυγμοὶ εἰς τάχος ἐπιδίδονται, τὴν κατὰ φύσιν σώζοντες ὁμαλότητά τε καὶ μαλακότητα καὶ τάξιν. Ἀπὸ δὲ τῶν οὔρων, τὰ μὲν ἐναιωρήματα, τὰ δὲ ὑπόστασιν ἔχοντα· εὔχροα δὲ πάντα, καὶ πάντων αὐτῶν ἄπεστι τὰ κακοήθη συμπτώματα. Ἴδιον δὲ τῶν ἐφημέρων πυρετῶν καὶ τὸ μετὰ νοτίδος τινὸς ἢ ἱδρώτων ἀποπαύεσθαι τὴν παρακμὴν τῆς τούτων θερμασίας· καὶ ταῦτα μὲν χωρὶς τῶν ἀναπτομένων πυρετῶν ἐπὶ χυμῷ τινι ζέσαντι ἢ σαπέντι, ἢ μωρίου φλεγμονῆς καὶ στεγνώσεως.

(κδ'.) Περὶ τῆς τῶν συνόχων πυρετῶν διαγνώσεως.

Τῶν δὲ συνόχων πυρετῶν γένος διττόν· οἱ μὲν γὰρ αὐτῶν γίνονται ἐπὶ ζέσει τοῦ αἵματος ἐν τῇ κοίλῃ φλεβί· οἱ δὲ ἐπὶ σήψει. Καὶ οἱ μὲν ἐπὶ ζέσει τοῦ αἵματος ὀλιγοχρονιώτεροί εἰσι καὶ ἀκινδυνώτεροι, οἱ δὲ ἐπὶ σήψει πολυχρονιώτεροι τοὐναντίον καὶ ἐπικινδυνώτεροι. Τούτων δὲ αὖ τῶν συνόχων ὁ σύμπας χρόνος εἷς ἐστι παροξυσμός, ἤτοι διὰ παντὸς ὁμότονος, ἢ μειούμενος, ἢ μὴ αὐξανόμενος ἄχρι κρίσεως, ἄνευ περιόδων τινῶν, καὶ οὐδείς ἐστιν ἐπ' αὐτῶν ὁ πεπονθὼς τό-

πος ἐξαίρετος. Ἀλλ' οἱ κατὰ τὰς μεγίστας τε καὶ θερμοτάτας ἀρτηρίας καὶ τὰς φλέβας ἁπάσας χυμοί, καὶ μάλισθ' ὅσοι διὰ σηπεδόνα ὠμῶν χυμῶν τινων, ἢ διὰ ζέσιν, ἀνάπτουσι πυρετὸν ἕνα σύνοχον ἀπ' ἀρχῆς ἄχρι τέλους *ἀδιάλειπτον*, *ἕως τοσούτου παραθερμαίνοντά τε* καὶ διακαίοντα τὸν ἄνθρωπον, ἄχρι περ ἂν οἱ γεννῶντες αὐτὸν χυμοὶ δαπανηθῶσιν ἢ πεμφθῶσιν ἢ πάθωσι τὸ συναμφότερον.

(κέ.) Πῶς ἔστι διακρίνειν σύνοχον ἐπὶ ζέσει ἢ ἐπὶ σήψει.

Διαγινώσκονται καὶ οὗτοι ἐκ τῶν σφυγμῶν καὶ τῶν οὔρων. Ἀπὸ μὲν τῶν σφυγμῶν, καθ' ὃ ἐπὶ μὲν τοῦ ἐπὶ ζέσει μεγάλοι τε εἰσὶν οἱ σφυγμοὶ καὶ ταχεῖς, καὶ κατεπείγει μᾶλλον ἡ διαστολὴ εἰς τὸ εἰσαγαγεῖν τῇ καρδίᾳ καθαρὸν ἀέρα καὶ εὐκρατῶσαι αὐτῆς τὸ ἔμφυτον θερμόν. Τὸ δὲ οὖρον ἐπὶ τούτων διάπυρόν τε ἐστι καὶ καταβεβαμμένον ἐκ τῆς χολῆς. Ἐπὶ δὲ τοῦ ἐπὶ σήψει τοὐναντίον κατεπείγει μᾶλλον ἡ συστολὴ τοῦ σφυγμοῦ διὰ τὸ ἐξωθῆσαι τὴν ὑποκειμένην σῆψιν ἐν τῷ βάθει, καὶ δακνῶδές τι τῇ ἀφῇ τῶν δακτύλων ὑποπίπτει (ἐπὶ) τῷ σώματι τῆς ἀρτηρίας. Τὸ δ' οὖρον ἐπὶ τούτους λευκότερόν τε καὶ σεσηπὸς φαίνεται· καὶ ταῦτα μὲν τῶν συνόχων πυρετῶν γνωρίσματα· διέλθωμεν λοιπὸν καὶ περὶ τοῦ καύσου, καὶ ἐκτικοῦ, καὶ μαρασμοῦ.

Ὁ σύνοχος ἢ ἐπὶ ζέσει αἵματος γίνεται καὶ ἀνάγεται ὑπὸ τοὺς πολυμέρους ἐφημέρους, ἢ ἐπὶ σήψει αὐτοῦ, καὶ ἀναφέρεται μεταβληθέντος εἰς χολήν, ὑπὸ τοῦ ἐπὶ σήψει. Οἱ διαλείποντες, οὐ διὰ τὸ σχῆμα τῶν τοιούτων, ἀλλὰ δι' ἀντίθεσιν διαφέρουσι τῶν συνόχων, ὅπου γὰρ ἡ ὕλη ἔξω τῶν ἀγγείων, ἤ τι καὶ τῶν σαρκωδῶν μορίων σαπῇ, διαλείποντα τὸν πυρετὸν ἀπεργάζεται.

(κϛ'.) Περὶ καύσου πυρετοῦ.

Ὁμοίως δὲ καὶ καῦσός ἐστι πυρετὸς διακαὴς, ἀνενδότως διακαίων, καὶ καταναλίσκων τὰ ἐν τῷ σώματι ὑγρά· τὸ δὲ σύμπαν σῶμα τῶν καμνόντων θερμόν τε καὶ ἐκπυρούμενον ἐντεῦθεν γίνεται, καὶ διακαίεσθαι τὴν κεφαλὴν δοκοῦσιν οἱ κάμνοντες, χαίρουσι καὶ ἥδονται τοῖς ψυχροῖς, καὶ οἱ ὀφθαλμοὶ δὲ αὐτῶν ἐρυθρώτεροι μετὰ ξηρότητός τινος, καὶ ἡ γλῶσσα τρα-

χεῖα καὶ μέλαινα. Οἱ δὲ σφυγμοὶ θερμοὶ καὶ ταχεῖς γίνονται ὑπερζεούσης τῆς χολῆς· τὰ δὲ οὖρα ἐπὶ τούτων θερμότερά ἐστι καὶ καταβεβαμμένα ἐκ τῆς χολῆς· ὁ δὲ Ἱπποκράτης λέγει, ὅτι οἱ πλεῖστοι τῶν πυρετῶν ἀπὸ χολῆς γίνονται.

(κζ΄.) *Περὶ ἑκτικοῦ πυρετοῦ.*

Ὁ δὲ ἑκτικὸς πυρετός ἐστιν ἀχώριστος, ἐκτήκων καὶ δαπανῶν τὴν ἐν ἑκάστῳ μορίῳ παρεσπαρμένην ὑγρότητα σύμφυτον. Ἕπεται ὡς τὰ πολλὰ τοῖς ὀξέσι καὶ καυσώδεσι πυρετοῖς μηκυνθεῖσι· γίνεται δέ ποτε καὶ κατὰ προσπάθειάν τινος μορίου κυρίου. Ἐπὶ τούτου ἐπίτασίς ἐστι θερμότητος καὶ ψυχρότητος, καὶ σῶμα κατὰ ξηρὸν ἐκτετηκὸς καὶ αὐχμῶδες· οἱ δὲ σφυγμοὶ πυκνοί, διακαίοντες καὶ διαβιβρώσκοντες τὴν ἀφήν. Ἴδιον δὲ ἑκτικοῦ πυρετοῦ τὸ μετὰ τὴν τροφὴν ἐπαύξεσθαι τὴν θερμασίαν, ὡς ἐπὶ τῆς τιτάνου· ἐπιβλισκομένου γὰρ ἐπ᾽ αὐτῆς τοῦ ὕδατος, ἐπαύξεται μᾶλλον καὶ ἀναζέει ἡ ἐν αὐτῇ ὑποκειμένη θερμότης.

(κή.) *Περὶ μαρασμοῦ πυρετοῦ.*

Ὁ δὲ μαρασμός ἐστι πυρετὸς ἀδιάλειπτος, βληχρὸς, ἐκδαπανῶν καὶ καταμαραίνων τὰ στερεὰ τοῦ σώματος μόρια· ἕπεται δὲ ὡς ἐπίπαν τῷ προειρημένῳ πυρετῷ· μηκυνθεὶς γὰρ οὗτος (α) καὶ καταναλώσας τὴν ἐν τοῖς μορίοις ὑγρότητα, ἀφικνεῖται ἐπ᾽ αὐτὴν τὴν καρδίαν, καὶ τὸ ἐν αὐτῇ σύμφυτον θερμὸν καταδαπανῶν, ποιεῖ τὸν μαρασμόν. Ἐπὶ τούτων γὰρ κατάβλυσις τῶν φυσικῶν δυνάμεων γίνεται, καὶ κατάπτωσις τοῦ παντὸς σώματος· τῆς γὰρ ἐμφύτου θερμότητος κατασβεννυμένης, ξηραίνεται καὶ μαραίνεται τὸ σύμπαν σῶμα μὴ τρεφόμενον, δίκην δένδρου στερηθέντος τῆς ἰκμάδος, μαραθέντος τε καὶ ξηραθέντος ἐσχάτως· ἐπὶ τούτων οἱ ὀφθαλμοὶ τῶν καμνόντων κοῖλοι γίνονται, λήμας ἔχοντες, βλέφαρα παραπλησίως τῶν νυσταζόντων, δέρμα λεῖον, ξηρὸν καὶ τεταμένον, σφυγμοὶ ἀμυδροὶ καὶ σκληροὶ καὶ μικροὶ τῶν ὅλων δυνάμεων ἐσχάτως καταβληθεισῶν.

(κθ΄.) *Περὶ τῶν ἀμφημερινῶν πυρετῶν*

Μετὰ δὲ τὰ γένη τῶν συνόχων πυρετῶν τῶν ἐντὸς τῶν

(α) Ἐκτικός. (β) Ἐνοῦσαν ὑγρότητα.

ἀγγείων ἐχόντων τὴν ὕπαρξιν, εἴπωμεν λοιπὸν περὶ τῶν ἐκτὸς τῶν ἀγγείων ἐχόντων τὴν ὑποκειμένην καὶ πλεονεκτοῦσαν ὕλην, λέγω δὴ ἀμφημερινῶν, τριταίων, τεταρταίων.

(*Λ'.*) *Περὶ τῶν εἰδῶν τοῦ μαρασμοῦ.*

Τέσσαρα εἰσὶν εἴδη μαρασμῶν πρῶτον μὲν τὸ κατὰ φύσιν, δεύτερον τὸ ἐκ νόσου γῆρας, τρίτον τὸ ἀπὸ ἑκτικοῦ μεταπίπτον εἰς μαρασμὸν, καὶ τέταρτον ὁ περιφρυγὴς μαρασμός. Τί διαφέρει μαρασμὸς μαρασμώδους; ὅτι ὁ μὲν μαρασμώδης ἀπὸ ψυχρότητος δ'. στοιχείων, ὡς ὕλη ἐστὶν ἐν ἡμῖν, ὁ δὲ μαρασμὸς ὡς εἶδος· καὶ ἡ μὲν ὕλη ἔσωθεν τῶν ἀγγείων ἐστι τὸ δὲ εἶδος αὐτὰ τ' ἀγγεῖα εἰσί· Διττῆς γὰρ οὔσης ταύτης, τῆς μὲν προσεχοῦς, τῆς δὲ πόῤῥω, κατά μὲν τὴν συνέχειαν οὐ δύναται, διότι ἄλλο τὴν τοῦ ἄλλου ὕλην ἁρμόζει, κατὰ δὲ τὴν πόῤῥω πάλιν ἀδύνατόν ἐστιν. Ἡ κίνησις δὲ ἢ κατ' οὐσίαν γίνεται, ἢ κατὰ συμβεβηκός· καὶ εἰ μὲν κατ' οὐσίαν γίνεται ποιεῖ τὴν γένεσιν καὶ τὴν φθοράν, εἰ δὲ κατὰ συμβεβηκὸς κατὰ τὸ μέγεθος γίνεται.

(*Λά.*) *Τί ἐστιν ἀμφημερινὸς καὶ πόθεν γίνεται καὶ τινι ἕπεται.*

Οἱ μὲν ἀμφημερινοὶ πυρετοὶ τοῦ πνεύματος μόνου παθήματα ὑπάρχουσι καὶ φλεγματικωτέροις καὶ ψυχροτέροις ἕπονται χυμοῖς, καὶ ψυχροτέραις καὶ ὑγροτέραις φύσεσί τε καὶ κράσεσιν, οἷον γέρουσί τε καὶ παισί, καὶ βίοις ἀργοῖς, καὶ ὥραις καὶ χώραις καὶ διαιτήμασι καὶ τοῖς λοιποῖς ψυχροῖς καὶ ὑγροῖς συστοιχείοις χωρίοις. Οὗτοι δὲ γίνονται καὶ παροξύνονται ἐπὶ φλέγματι σηπομένῳ· τὸ γὰρ σαπὲν φλέγμα ὑπὸ φύσεως ὠθούμενον, καὶ διὰ τῶν αἰσθητικῶν ὀργάνων ἔξω σώματος φερόμενον, ἄρχεται ἀπὸ καταψύξεως τῶν ἄκρων, καὶ φρίκης πᾶσα δυσεκθέρμαντόν τε ἔχει, καὶ πολυχρόνιον τὴν ἐπὶ τὴν ἀκμὴν ἀνάβασιν, διά τε τὴν ψυχρότητα καὶ γλισχρότητα τοῦ ὑποκειμένου χυμοῦ· διὰ ταῦτα βραδύτερός τέ ἐστιν ἐν ταῖς εἰσβολαῖς καὶ ἐν ταῖς ἀναβάσεσι τῶν παροξυσμῶν. Πανταχόθεν δὲ κατὰ τοὺς πόρους ἰσχόμενος θλίβει τε καὶ βαρύνει τὴν δύναμιν· ὑποτύφεται γὰρ καὶ ὑποκρύπτεται καὶ δυσέξαπτον καὶ καπνῶδες

γίνεται, ὡς ἐπὶ τῶν ὑγροτέρων ξύλων τὸ πῦρ ἐστὶν ἰδεῖν. Οἱ δὲ σφυγμοὶ τούτων μικροί, ἀμυδροί, ἀραιοί τε καὶ ἀνώμαλοι γίνονται, καὶ τὸ διάλειμμα φαυλότερον τῶν ἄλλων ἐστίν. Οὖρα δὲ λευκὰ καὶ λεπτά, ἢ παχέα καὶ θολερά, ἢ ἐρυθρά, ὡς ἐπὶ τὸ πολύ. Καὶ ταῦτα μὲν τοῦ ἀμφημερινοῦ τὰ γνωρίσματα.

(λϐ′.) *Περὶ ἀκριβοῦς τριταίου.*

Ὁ δὲ ἀκριβὴς τριταῖος γίνεται καὶ παροξύνεται ἐπὶ πλήθει καὶ σήψει τῆς ξανθῆς χολῆς· αὐτὴ δὲ πλημμυροῦσα καὶ ὑπὸ τῆς φύσεως ὠθουμένη ἔξω τῶν ἀγγείων, ἅτε δὴ καυσώδης οὖσα καὶ διὰ τῶν αἰσθητικῶν ὀργάνων ἔξω φερομένη, καταδάκνει τε καὶ σφοδρότερον τὸ ῥῖγος καὶ τὸν πυρετὸν ποιεῖ. Τὸ δὲ μέγιστον μῆκος τοῦ παροξυσμοῦ ἐστὶν ὡρῶν δέκα καὶ δύο, (καὶ) ἀποπαύεται καὶ λήγει εἰς καθαρὸν διάλειμμα. Ἕπεται δὲ θερμοτέραις καὶ χολωδεστέραις φύσεσί τε καὶ κράσεσι, καὶ βίῳ ἐπιπόνῳ, καὶ ὥρᾳ καὶ χώρᾳ καὶ ἡλικίᾳ καὶ διαίτῃ θερμῇ καὶ ξηρᾷ. Οὖρα δὲ θερμὰ καὶ ἐκχολούμενα· γίνεται δὲ ἐπὶ τούτων καὶ χολῆς ἔμετος καὶ διαχωρήματα παρόμοια· καὶ νύττεται ὑπὸ τοῦ χρωτός· ὀλιγοχρονιώτερος δὲ ἐστι τοῦ προειρημένου. Οἱ δὲ σφυγμοὶ ἐπὶ τούτων μεγάλοι τε καὶ πυκνοὶ καὶ ταχεῖς γίνονται.

(λγ′.) *Περὶ ἡμιτριταίου ἀκριβοῦς.*

Ὁ δὲ ἀκριβὴς ἡμιτριταῖος καλούμενος, σύνθετός ἐστιν ἐκ τριταίου διαλείποντος, καὶ συνεχοῦς ἀμφημερινοῦ, ἐπὶ χολῇ καὶ φλέγματι σηπομένοις συνιστάμενος, φυλάττων ἐν τοῖς παροξυσμοῖς ἀμφοτέρων τῶν χυμῶν τὰ ἰδιώματα τῆς κινήσεως· καὶ τοῦ μὲν ἀμφημερινοῦ καθ' ἑκάστην παροξύνοντός τε καὶ κινουμένου· τοῦ δὲ τριταίου μίαν παρὰ μίαν.

(λδ′.) *Περὶ ἀκριβοῦς τεταρταίου.*

Τὸ δὲ τρίτον γένος τῶν διαλειπόντων πυρετῶν ὁ ἀκριβὴς ἐστι τεταρταῖος, πολυχρονιώτερος καὶ ἐπὶ μόνῳ γινόμενος τῷ μελαγχολικῷ χυμῷ, ψυχρῷ καὶ ξηρῷ τὴν κρᾶσιν ὑπάρχοντι. Ἡ εἰσβολὴ δὲ τούτου ὀστοκοπῶδες ῥῖγος ἐπιτεταμένον καὶ κρυερόν· καὶ κατὰ βραχὺ ὑποστύφεται, καθάπερ τις ἢ ὄστρακον·

ἐπειδὰν δ' ἐξαφθῇ τις ἐξ αὐτοῦ φλὸξ, οὐδὲν ὑπολείπει, εἰ μή τι καπνῶδες ἐν τῷ παροξυσμῷ· ἐκκενοῦται γὰρ καὶ διαφορεῖται τὸ ἐξαφθὲν τοῦ κινηθέντος χυμοῦ μελαγχολικοῦ, καὶ οὕτω γίνεται διάλειμμα καθαρόν. Ἕπεται δὲ ξηροτέραις καὶ ψυχροτέραις φύσεσί τε καὶ κράσεσι, καὶ ὥραις, καὶ χώραις, καὶ ἡλικίαις καὶ διαίταις, ταῖς τὸν μελαγχολικὸν χυμὸν γεννώσαις. Οἱ δὲ σφυγμοὶ ἐπὶ τούτων μικροὶ καὶ μοχθηροὶ, βραδεῖς καὶ σκληροί· οὖρα δὲ ἐν μὲν τῇ ἀρχῇ λεπτά, προϊόντος δὲ τοῦ νοσήματος καὶ παρακμάσαντος, παχύτερα γίνεται.

(λέ.) Πῶς γίνονται οἱ διαλείποντες πυρετοί.

Οἱ δὲ διαλείποντες πυρετοὶ γίνονται αἰτίᾳ τοιαύτῃ, ὡς ἡνίκα ἡ ὕλη ὑπὸ τῆς φύσεως ὠθουμένη κινηθῇ πρὸς ἔκκρησιν· ταύτης δὲ κινουμένης (α) μέρος φέρεται πρὸς τὴν καρδίαν καὶ νωθρεύει ταύτης τὸ ἔμφυτον θερμόν· τούτου δὲ ἀναθολουμένου καὶ νωθρευομένου ἐξάπτεται ὁ πυρετός. Τοῦτο δὲ γίνεται τῆς φύσεως προνοουμένης καὶ ἐπινοουμένης τὸν πυρετὸν πρὸς τὸ ἀναλῶσαι καὶ καταδαπανῆσαι τὰ πρόσω ῥηθέντα καὶ λυποῦντα αἴτια· καὶ εἰ μὲν κατισχύῃ διὰ τοῦ ἑνὸς παροξυσμοῦ καταναλῶσαι πᾶσαν τὴν πλεονεκτοῦσαν ὕλην, καὶ ἐπιδαπανῆσαι μέρος αὐτῆς, τὸ διάλειμμα ποιεῖ, καὶ ἄνεσιν προσλαμβάνουσα πόνον ἕτερον παροξυσμὸν, ἢ καὶ ἕτερον σκοπὸν ἔχουσα διὰ τὸ κατὰ μέρος δαπανῆσαι καὶ ἐξατμίσαι, ἢ ἀποτεφρῶσαι πάντα τὰ ὑπολειφθέντα καὶ θλίβοντα αὐτὴν αἴτια.

(λϛ'.) Τίνες λέγονται τριταιοφυεῖς καὶ τί διαφέρουσι τῶν συνόχων.

Ὁ συνεχὴς τριταῖος οὐ μόνον καῦσος λέγεται ἀλλὰ καὶ τριταιοφυής. Διαφέρει δὲ ὁ σύνοχος τούτου, ὅτι ὁ μὲν ἐξ αἵματος χολωδεστέρου γίνεται, ὁ δὲ σύνοχος ἐπὶ εἰλικρινῇ χολῇ.

(λζ'.) Πῶς γίνονται αἱ φρῖκαι.

Πῶς δὲ προηγοῦνται αἱ φρίκαι καὶ οἱ τρόμοι ἐπὶ τῶν παροξυσμῶν, καὶ πῶς ἄρχονται οἱ πυρετοὶ, διεξερχώμεθα. Γίνονται δὲ αἱ φρίκαι διχῶς, ἢ γὰρ διὰ τὸ ποσὸν τῆς ὑποκειμένης καὶ πλεοναζούσης ὕλης, ἢ διὰ τὸ ποιόν· τῶν γὰρ φυσῶν ἡ-

(α) Ἐκκρινομένης.

γουν τῶν πνευμάτων ἀθρόως ἐκ τῶν ἔνδοθεν κινουμένων, καὶ εἰς ὅλον τὸ σῶμα διαδραμόντων, καὶ οἱονεὶ ψυξάντων τὸ αἷμα, διὰ παντὸς τοῦ σώματος αἱ φρίκαι γίνονται. Τῆς γὰρ ὕλης ὡς ὑπὸ τῆς φύσεως κινουμένης καὶ οἱονεὶ ὠθουμένης, οἱ μύες καὶ τὰ νεῦρα χαυνούμενα καὶ δακνόμενα φρίττουσι καὶ ποιοῦσι τὴν φρίκην· εἰώθασι γὰρ καὶ δακνώδεις χυμοὶ καὶ ἀτμοὶ διὰ τῶν αἰσθητικῶν ὀργάνων διαφερόμενοι τὰς φρίκας καὶ τὰ ῥίγη ἐκγεννᾶν.

(λή.) *Τὰ ῥίγη πῶς προηγοῦνται καὶ πῶς συνίστανται καὶ ποῦ ἕπονται.*

Προηγοῦνται μὲν ἐπὶ τῶν διαλειπόντων, συνίστανται δὲ, ἐπὶ τῶν ἠπιάλων πυρετῶν, λύονται δὲ ἐπὶ τῶν συνόχων καύσεων. (α)

(λθ'.) *Πῶς γίνονται οἱ τρόμοι.*

Γίνονται δὲ καὶ οἱ τρόμοι τρόπῳ τοιῷδε· τὸ αἷμα φοβούμενον τὴν παροῦσαν φρίκην συννεύει πρὸς ἑαυτὸ, καὶ ἀποφεύγει πρὸς τὰ θερμότερα μέρη τοῦ σώματος· τούτου δὲ ἀναθολουμένου καὶ καθισταμένου ἐκ τῶν ἀκρωτηρίων ἐπὶ τὸ βάθος, τὰ σπλάγχνια καὶ τὰ στερεὰ τρέμουσι, καὶ συγκλονεῖται βίᾳ τὰ πέρατα τοῦ σώματος.

(μ'.) *Πόθεν γίνεται ὁ τρόμος ἐπὶ τῶν γερόντων*

Γίνεται δὲ ὁ τρόμος τῷ ἑλκύειν μὲν ἐπὶ τὸ βάθος τὸ μόριον, τὴν δὲ ψυχικὴν δύναμιν ἐπὶ τὰ ἄνω, καὶ τοῦτο κατὰ διάθεσιν καὶ συνεχῶς γινόμενον ἐργάζεται τὸν τρόμον· ὅθεν λοιπὸν καὶ ἐπὶ τὸ κάτω νεύουσιν ἐπὶ τὴν γῆν σπεύδοντες, ὅπου καὶ ἡ φύσις βιάζεται, ὅθεν καὶ βακτηρίαις ἑαυτοὺς, καθάπερ τοίχοις παλαιοῖς, ἀντὶ ξύλων στηρίζουσιν. Ὅθεν διὰ τὸν λόγον τῆς ἀσθενείας τῶν δυνάμεων ἀπροαιρέτως καὶ σκύβαλον καὶ οὖρον ἐκφέρουσιν.

(μά.) *Τί διαφέρει ὁ τρόμος τῆς φρίκης,*

Οὐδὲν διαφέρει τὰ γὰρ αὐτὰ γένη κοινὰ εἰσίν. Ὥςπερ γὰρ

(α) Συνεχῶν καύσεων.

ἐπὶ τῶν λεβήτων ἀτμὸς ἐξ αὐτῶν ἀνέρχεται πολύς, ἑψηνομένου τοῦ ἐν αὐτῷ ὕδατος, οὕτω, καὶ ἐπὶ τῶν ἔνδοθεν τοῦ σώματος ἀνέρχεται ἀτμός διά τινων πόρων, δι᾽ αὐτῶν καὶ συστρέφουν τοὺς μῦς τοῦ σώματος. Κλίνονται γὰρ τὰ νεῦρα χλιαινόμενα καὶ θερμαινόμενα διαστέλλονται, τοὐναντίον ἀνατινάζεσθαι· οὕτως τὴν φρίκην καὶ τὸν τρόμον ἀποτελεῖ.

(μβ΄.) *Πῶς ἔπονται ταῖς φρίκαις οἱ πυρετοί.*

Ἕπονται δὲ ταῖς φρίκαις οἱ πυρετοὶ προνοίᾳ τῆς φύσεως· ἡ γὰρ προνοητικὴ φύσις ἔνδον οὖσα, ὥσπερ ἰατρὸς ἀγαθός, προνοουμένη τοῦ σώματος ἐπιποιεῖται τὸν πυρετόν, πρὸς τὸ ἐξάψαι καὶ καταδαπανῆσαι τὰ ἐπικείμενα καὶ λυποῦντα αὐτὴν αἴτια. Ἐπειδὰν γὰρ ἀθροισθῇ τὸ πλεῖστον τοῦ αἵματος εἰς τὸ βάθος, ἀναβρασάζεται τὸ ἐν τῇ καρδίᾳ ἐκεῖνο ἔμφυτον θερμὸν καὶ διάπυρον γενόμενον ἐξάπτει τε καὶ ἐξαπλοῖ τὸν πυρετὸν διὰ τῶν ἀρτηριῶν ἐπὶ τὸ ὅλον σῶμα.

(μγ΄.) *Τίς ἐστιν ὁ ἠπίαλος πυρετός.*

Ὁ δὲ ἠπίαλος πυρετός ἐστιν, ὅταν ἅμα καὶ ῥιγῶσι καὶ πυρέττωσιν οἱ κάμνοντες, καὶ ἀμφοτέρων αἰσθάνωνται κατὰ τὸν αὐτὸν χρόνον ἐν παντὶ μορίῳ τοῦ σώματος. Τοῦτο δὲ γίνεται ὅτι ἡμισαπὲς ἐστὶ τὸ ὑποκείμενον φλέγμα· ὅτ᾽ ἂν γὰρ ἐπικρατῇ τὰ σήψεως, πυρέττουσι μᾶλλον, ὅταν δὲ τὰ ὠμότητος ῥιγῶσιν.

(μδ΄.) *Ἐν τοῖς διαλείμμασι τῶν πυρετῶν ποῦ ἐστι τὰ αἴτια.*

Ἀποροῦσι δέ τινες λέγοντες ἐν τοῖς διαλείμμασι τῶν πυρετῶν ποῦ ἐστι τὰ αἴτια· πρὸς δὲ τούτους φαμέν, ὅτι ἐν τοῖς μυσὶν εἰσὶ κεκρυμμένα, καὶ ἐν τῷ καιρῷ δὲ τοῦ παροξυσμοῦ ὑπὸ τῆς φύσεως ἐλέγχονται.

(με΄.) *Τῶν πυρετῶν τὸ θεραπευτικόν.*

Ἐπὶ τούτων δὲ ἁπάντων τῶν νοσημάτων χρὴ ἀκριβῶς ἐπίστασθαι τὸν ἐπιστήμονα ἰατρὸν καὶ διαγινώσκειν τήν τε φύσιν καὶ τὴν κρᾶσιν τῶν καμνόντων, καὶ τὴν ἰδέαν τῶν πυ-

ρετῶν, καὶ τὴν ἑκάστου νοσήματος γένεσιν καὶ κίνησιν καί ἀρχὴν καὶ ἀνάβασιν καὶ ἀκμὴν καὶ παρακμὴν καὶ τὰς ἀναλογίας αὐτῶν τῶν παροξυσμῶν καὶ τὰς τῶν περιόδων ἀνταποδόσεις. Καὶ πρῶτος μὲν καὶ κοινὸς σκοπός ἐστιν ἐπὶ πάντων τῶν νοσημάτων, ὡς ἀπέριττον καὶ εὔπνουν εἶναι τὸ σῶμα· δεύτερος δὲ ἐφεξῆς τὸ πρὸς τὴν δυναστεύουσαν αἰτίαν ἀπομάχεσθαι· (α) πᾶν γὰρ ἔργον ἰατροῦ ἐπανορθωτικόν ἐστι τῶν περὶ τὸ σῶμα σφαλμάτων. (ἐν τούτοις γὰρ αἱ διαφοραὶ τῶν πυρετῶν.)

(μς΄.) *Πῶς γίνονται οἱ ἐφήμεροι πυρετοί.*

Ἰστέον οὖν, ὅτι τοῦδε τοῦ ἐπὶ πνεύμασι γένους ἡ κυρίως διαίρεσις ἥδε ἐστίν· ἢ γὰρ ἐπὶ κόποις, ἢ μέθαις, ἢ ὀργαῖς, ἢ λύπαις, ἢ φροντίσιν, οἱ κυρίως καὶ οὐσιώδεις τῶν ἐφημέρων συνίστανται· οἱ γὰρ ἐπὶ στεγνώσει καὶ πυκνώσει τοῦ δέρματος συνιστάμενοι πυρετοὶ ἀπὸ τοῦ αὐτοῦ μὲν γένους εἰσί, πλὴν οὐ κυρίως, ἐπειδὴ γὰρ ταῦτα τὰ αἴτια πῇ τὸν ἐφήμερον ποιεῖ πυρετὸν, πῇ δὲ τὸν ἐπὶ σήψει· ἡ γὰρ στέγνωσις καὶ ἡ πύκνωσις ἐν ἀπερίττῳ μὲν σώματι καὶ μηδὲν τῆς ἀπὸ τῶν χυμῶν μοχθηρίας κεκτημένῳ, τὸν ἐφήμερον ἐργάζεται πυρετὸν, ἐν περιττωματικῷ δὲ σώματι καὶ πλείστην, ὡς εἴρηται, μοχθηρίαν χυμῶν κεκτημένῳ; τοὺς ἀπὸ τοῦ ἑτέρου γένους τῶν πυρετῶν ἀπεργάζεται, ὁποτέρου ἂν τύχοι τῶν χυμῶν ἄθροισις γενέσθαι· εἰ μὲν ἐπὶ τοὐκτὸς, τοὺς διαλείποντας, εἰ δὲ ἐπὶ τὰ ἐντὸς, τοὺς συνεχεῖς ἀπεργαζομένη. *Πῶς γίνονται οἱ ἐπὶ βουβῶσι πυρετοί.* Τριῶν ἀρχῶν οὐσῶν ἐν τῷ σώματι, λέγω δὴ ἐγκεφάλου, καρδίας, καὶ ἥπατος, ἑκάστην τῶν ἀρχῶν τούτων ἡ φύσις ἀδέσι τετίμηκε. Δέδωκε γὰρ τούτοις τοῖς μορίοις εἰς τὴν τῶν οἰκείων περιττωμάτων ἀπόθεσιν, τοὺς προειρημένους ἀδένας ὡς συμπαρακειμένους τούτοις καὶ πλησιάζοντας· τοὺς μὲν παρὰ τὰ ὦτα ἀδένας ὁ ἐγκέφαλος κέκτηται, τοὺς δὲ παρὰ τὰς μασχάλας ἡ καρδία, τοὺς δὲ παρὰ τοὺς

(α) ἀπομαχήσασθαι.

βουβῶνας τὸ ἧπαρ. Ὁπόταν οὖν ἀθροισθῇ τι τῶν χυμῶν περίττωμα μοχθηρὸν, ἔν τινι τῶν κυρίων μορίων κατακρατῆσαν, καὶ ἀσθενῆσαι τοῦτο ποιήσει· τηνικαῦτα ἡ φύσις ἐλευθερῶσαι ζητοῦσα τὰ κύρια μόρια, σὺν ταῖς ἑαυτοῦ δυνάμεσι παραγίνεται κατὰ ἀπόστασιν, τὸ ἐνὸν ἐν τούτοις περίττωμα ἀποδιῶξαι σπουδάζουσα. Μὴ δυναμένη δὲ τελείαν ἐλευθερίαν τοῖς κυρίοις παρασχεῖν μορίοις διὰ τὴν ἐν τούτοις προγεγονυῖαν ἀσθένειαν, κατὰ μετάδοσιν ἀπολακτίσασα μέρος τι τῆς ὕλης, ἐνσκῆψαι τοῖς ἀδέσι ποιεῖ, οἵτινες ὡς ἀραιοὶ καὶ σομφώδεις, ἑτοιμότατα δέχονται· ὅθεν καὶ Ἱπποκράτης τούτους πάντας κακοὺς φησὶν εἶναι, ὡς μὴ κατὰ ἀπόστασιν καὶ ὕλην ἔξω φερομένην, ἀλλὰ κατὰ μετάδοσιν τοὺς βουβῶνας ἐξαίρουσα, καὶ οὐδεμίαν ἀπὸ τῶν ἔξωθεν ἔμφασιν προκαταρκτικῆς τινὸς αἰτίας τῷ ἰατρῷ παρέχουσα πρὸς διάγνωσιν τῶν τὸν κυρίως ἐφήμερον πυρετὸν ἀπεργαζομένων·

(μζ΄.) *Περὶ τῶν δι' ἔρωτα πυρεσσόντων.*

Ἔστι δὲ καὶ ἕτερος πυρετὸς ἐκ τοῦ τοιοῦ δε γένους, ὅστις ἐπὶ συντονίᾳ τῆς ψυχῆς, φροντίσι συνίσταται· λέγω δὴ, ὅσοι ὥρᾳ κάλλους ἁλωτοὶ τῷ ἔρωτι γεγόνασιν, ἀποτυχόντες ἀπολαῦσαι τοῦ ἐρωμένου, ὥσπερ που καὶ Ἐρασίστρατος ἐφώρασε δι' ἔρωτα τὸν τοῦ Σελεύκου ἀῤῥωστοῦντα Ἀντίοχον. Οὐ καλῶς δ' οὖν ὅμως οἱ πολλοὶ τῶν παλαιῶν ἰατρῶν ὑπειλήφασιν ἀπὸ τοιᾶς δε ψυχικῆς φροντίδος τὸν ἐφήμερον πυρετὸν συνίστασθαι, μὴ προσδιορισμῷ τινι κατὰ λόγον χρησάμενοι· ὁ γὰρ ἐρωτός τινος κάτοχος γεγονὼς, εἰ μὲν ἀδυνάτως ἔχει ἀπολαύειν τοῦ ἐρωμένου, ἐπύρεξέ τε φροντίσας, καθ' ὃν χρόνον τοῦ ἐρωμένου ἀπέτυχεν ὁμιλίας, εἴ γε καὶ πολλῶν ἡμερῶν ἀριθμὸς εἰς ἑξήκοντά (που) ἢ καὶ τούτων πλείους διέλθοι, καί τινες ἐξ αὐτῶν οὐχ ἐφημέρῳ ἀλλ' ἑκτικῷ πυρετῷ εἰς τέλος ἑάλωσαν· εἰ δέ γε τοῦ ἐρωμένου οὐχ εἰς μακρὸν ἀπολαῦσαι ῥᾷον, οὗτοι τῆς τε φροντίδος καὶ τοῦ πυρετοῦ ἀπαλάττονται. Εἰσὶ δέ τινες καὶ ἄλλαι ψυ-

χικαὶ φροντίδες μετὰ συντονίας γενόμεναι τοῖς φιλοπλούτοις τε καὶ φιλοχρύσοις, καὶ τοῖς ἐπὶ σωμάτων ἀεὶ χαίρουσιν ὁμιλίαις· οὗτοι γὰρ τῇ τούτων ἀποτυχίᾳ πεπόνθασιν, καὶ ἐφημέρῳ πυρετῷ οἱ τοιοῦτοι ἁλίσκονται, ὁπόταν πρὸς ἡμέραν ἀποτυχόντες φροντίσωσιν· ἄμφω γὰρ καὶ οὗτοι τῆς φροντίδος καὶ τοῦ πυρετοῦ λύονται τῇ τῶν ἐλπιζομένων ἐπιτυχίᾳ. Διότι ἁπάντων μὲν τῶν ἀπὸ τοῦ αὐτοῦ γένους ἐφημέρων *πυρετῶν* ἡ ἀρχὴ ἀπό τινος προκαταρχούσης τε καὶ φανερᾶς αἰτίας γίνεται· οἷον ἀγρυπνίας ἢ λύπης ἢ φόβου καὶ θερμοῦ ἢ ἐγκαύσεως ἢ μέθης ἢ κόπου ἢ ψύξεως· εἴτε τινὸς ἄλλης προφάσεως φανερᾶς, εἰ καὶ μὴ ἴδια ταῦτα τοῖς τοιοῖς δε εἰσὶ πυρετοῖς ἀχώριςα δέ γε παντάπασιν. Οἱ δὲ ἐπὶ συντόνοις τῆς ψυχῆς φροντίσι γινόμενοι πυρετοί, εἰ μὴ προκαταρκτικῆς τινὸς αἰτίας ὑπαρχούσης, ἐν τούτοις πῶς ἂν γνωρισθεῖεν καὶ πόθεν τῷ ἰατρῷ ἡ ἔνδειξις τῶν τοιούτων γενήσεται πυρετῶν; Τὸ μὲν δεῖ παντάπασιν ἄπορον εἶναι τὴν διάγνωσιν ἐπὶ τῶν τοιούτοις ἁλισκομένων πυρετοῖς· ὁ γὰρ ἐρῶν καὶ ταῖς συντόνοις τοῦ ἐρωμένου φροντίσι, τῷ πόθῳ καταφλεγόμενος, κρύπτειν δὲ τὸ πάθος ἐπεχειρῶν καὶ μηδενί γε δι᾽ αἰσχύνην ἐξειπεῖν δυνάμενος, πῶς ἂν διαγνωσθείη τῷ ἰατρῷ, εἰμή τις τῶν πάνυ γεγυμνασμένων τὸν λογισμὸν καὶ ἀκριβῶς ἐξησκημένων τὴν τέχνην ὑπάρχει; Λέγομεν δὲ ὀλίγα ἄττα καὶ περὶ τούτου, ὡς μὴ παντάπασιν ἄπορον εἶναι δόξῃ καὶ σαφηνείας ἐκτός. Ἰστέον οὖν ὅτι πλειόνων ὄντων ἐν τοῖς συντόνοις τῆς ψυχῆς φροντίσι γενῶν, ἓν ἐξ αὐτῶν ἐστὶ καὶ ἡ λύπη· οἱ μὲν γὰρ τῶν οὕτω πασχόντων λυποῦνται, ἀποθανόντων τῶν τέκνων ἢ οἰκείων ἢ συγγενῶν· οἱ δ᾽ αὖ πάλιν προςδοκῶντες ἑαυτούς, ἢ μόνους παθεῖν ἢ καὶ τὴν πατρίδα πᾶσαν ἀνάστατον ἔσεσθαι· οὕτω δὴ καὶ οἱ δἰ ἔρωτος πάσχοντες σαφές τε καὶ φανερὸν δεινὸν πεπόνθασιν, ἀνεχθεῖεν δ᾽ ἂν καὶ οὗτοι ὑπὸ τὸν διὰ λύπην καὶ πόνους καὶ φροντίδα καὶ θεωρίαν τινὰ μαθημάτων φροντίσαντα καὶ πυρέξαντα· τοῖς γὰρ αὐτοῖς καὶ οἱ τοιοῦτοι σημείοις τε καὶ συμπτώμασι κατάδηλοι πᾶσι καὶ φανεροὶ γένοιντ᾽ ἄν· πρὸς τὸ καὶ τὴν διάνοιαν ἐξηρτημένοι, πρὸς τὸ ἐρώμενον ἔχειν, καὶ μήτε ταῖς τῶν φίλων, μήτε τῶν συγγενῶν ὁμιλίαις τε καὶ παραινέσεσιν ἐπιστρε-

φόμενοι, ὠχροί τε πάντη καὶ αὐχμηροὶ, καὶ φροντίδων μεστοὶ οἱ οὕτω πάσχοντες φαίνονται.

(μή.) Πῶς γίνονται οἱ νόθοι πυρετοὶ καὶ τίς ἡ αἰτία τῆς τῶν νόθων γενέσεως.

Αἴτιον δὴ τῆς τῶν νόθων γενέσεως, τῷ μὲν ἡμιτριταίῳ τὸ φλέγμα, τῷ δὲ ἐφημέρῳ καὶ τεταρταίῳ χολὴ, ὥςπερ ἀκριβέστερον περὶ τούτων ἐν τοῖς κατὰ μέρος διαλεξόμεθα· ὁμὲν δὴ τῶν παροξυσμῶν καιρὸς τῶν καὶ τὴν οὐσίαν καὶ ἀκριβῆ τάξιν φυλαττόντων, ἔστιν οὗτος· τῷ μὲν γὰρ ἀκριβεῖ τριταίῳ δώδεκα ὧραι ὁ παροξυσμὸς· κρίνονται δὲ αὗται, ἀρχῇ, ἀναβάσει, ἀκμῇ, παρακμῇ· τὸ δ' αὐτὸ καὶ ὁ ἐφήμερος τὴν οἰκείαν τάξιν φυλάττων, καὶ τὸ τοῦ *ἀκριβοῦς* ὄνομα καὶ οὗτος ἐπιδεχόμενος, ὥραις δώδεκα καὶ οὗτος ἠσφάλισται σὺν τοῖς προειρημένοις καιροῖς. Ὁ δέ γε τεταρταῖος τοῖς προλαβοῦσι καὶ αὐτὸς τῇ τάξει χρώμενος, ἐν ὥραις κρίνεται καὶ οὗτος δεκατέσσαρσιν, εἴ γε ἀκριβὴς εἴη· εἰδέ γε νόθος ἐν ὥραις περιορίζεται δώδεκα. Τὸ δ' ὑποκείμενον τούτων ἑκάστῳ ὑπάρχει διάφορον· τῷ μὲν γὰρ ἀκριβεῖ τριταίῳ, χολὴ, τῷ δέ γε ἐφημέρῳ, τὸ φλέγμα ὑπόκειται, τῷ δὲ τεταρταίῳ, ἡ μέλαινα ὑπόκειται χολή. Κοινωνία δὲ ἐφ' ἑκάστῳ τούτων καὶ διαφορὰ πέφυκε γίνεσθαι, κοινωνοῦσι μὲν γὰρ ἄμφω κατὰ τὸ διάλειμμα, ἤγουν κατ' αὐτὸ τὸ τοῦ διαλείποντος ὄνομα· ἑκάστῳ γὰρ τούτων, ἐὰν τῶν ἀγγείων ἐκτὸς ἡ κατάστασις γένηται, τὸ τοῦ διαλείποντος ἀποκεκλήρωται ὄνομα· καὶ κατὰ μὲν τὸ ὄνομα κοινωνοῦσι, κατ' αὐτὸ δὲ τὸ πρᾶγμα, διαφέρει ἕκαστος, ὡς προείρηται. Διατὶ ὁ τοιοῦτος τριταῖος πλεῖον τῶν ὡρισμένων ιβ'. ὡρῶν γίνεται, ἐλάττων δ' ὅμως ποτὲ συνίσταται, καὶ γὰρ ιά. καὶ θ'. καὶ ί. πολλάκις δὲ καὶ ζ'. ὁ παροξυσμὸς τοῦ γνησίου τριταίου ὡρῶν περιώρισται· ἡ δὲ αἰτία τῆς ἀνίσου ταύτης προθεσμίας ὁποία; Τριττὴ μὲν ὡς ἐπὶ τὸ πλεῖστον, ἀπό τε δυνάμεως τοῦ νοσοῦντος, καὶ σώματος καταστάσεως, καὶ ὕλης ποσότητος. Ἔςι δέ τι καὶ τέταρτον, ὡς ἡ ἐν τῇ ὕλῃ ποιότης, ὡς γενέσθαι τὰ

πάντα ἰδίως αἴτια τέσσαρα, ἀλλὰ γενικῶς μὲν τρία ταῦτα εἰσίν, ὕλη καὶ σῶμα καὶ δύναμις· ἀλλ' ἐπεὶ ἡ ὕλη εἰς δύο τέμνεται, εἰς ποιότητα φημὶ καὶ ποσότητα, γεννήσονται λοιπὸν τέσσαρες· καὶ εἰ μὲν εὔρωστος ἡ δύναμις εἴη, ταχέως καὶ ὁ παροξυσμὸς παύσεται· εἰ δὲ ἀσθενής, χρονιώτερος γενήσεται· καὶ εἰ μὲν ἀραιὸν εἴη πάντως τὸ σῶμα, βραχυχρόνιος ἔσται· εἰ δὲ πυκνόν, πολυχρόνιος. Ἀπὸ δὲ τῆς ὕλης, οὕτως εἰ μὲν πολλὴ εἴη, βραδέως λυθήσεται· εἰ δὲ ὀλίγη, ταχέως. Ἀπὸ δὲ τῆς ποιότητος, εἰ μὲν λεπτὴ καὶ κούφη, ὀλιγοχρόνιος ἔσται καὶ ὁ παροξυσμός, εἰ δὲ παχεῖα, πολυχρόνιος. Τί διαφέρουσιν οἱ δύο τριταῖοι τοῦ διπλοῦ; οἱ δὲ δύο καὶ ὁ διπλοῦς ὀνομαζόμενος τριταῖος, καθ' ἑκάστην τὴν εἰσβολὴν ποιούμενος φαίνεται· ὡς αὔτως δὲ καὶ οἱ δύο τριταῖοι· τὸ δὲ διάφορον ἐν τούτοις ὥριςαι μὲν καὶ ἐξ αὐτοῦ τοῦ πράγματος· ὥρισται δὲ καὶ ἀπὸ τῶν ἄλλων, τῶν ἐμφαινομένων ἐν ταῖς εἰσβολαῖς καὶ τοῖς διαλείμμασι καὶ ἐκ τοῦ πράγματος μὲν οὕτως· ὁπόταν ἡ ὕλη τὸν διπλοῦν ἀπογεννήσασα τριταῖον, *διπλάσιον* τῆς τὸν ἕνα ἀπογεννητάσης γενήσεται, κατὰ τὸ ποσὸν μέν τοι, οὐ κατὰ τὸ ποιεῖν ἀκριβῶς· ἰσοσθενὴς γὰρ ἄμφω τῷ διπλασίονι λόγῳ κατὰ τὸ ποσὸν ἡ ὕλη τὴν σύστασιν ἔσχηκε· ταῖς δὲ κατὰ τὸ ποιὸν τῇ τῆς ὕλης ποσότητι, τὸ τοῦ ποιοῦ φαινόμενον ἐγκατάλειμμα· οὐ γὰρ δι' ὅλης γε τῆς ποσότητος ἡ δριμεῖα καὶ δακνώδης τοῦ ποιοῦ δύναμις πεπεράτωται. Καὶ ποτὲ μὲν εὕρηται, τὴν μὲν μίαν εἰςβολὴν μεγίστην ποιούμενος, ἥττονα δὲ τὴν ἑτέραν καὶ οὐκ ἐν ἄλλῳ καὶ ἄλλῳ μορίῳ ἡ ὕλη τὴν σύστασιν ἔσχηκεν· ἀλλ' ἐν μὲν τοῖς διαλείπουσιν, ἐν σαρξὶ καὶ μυσὶ καὶ ταῖς τοῦ ὅλου κοιλότησι σώματος ἤθροισταί γε καὶ σέσηπται τῶν ἀγγείων ἐκτός, ἐνδέ γε τοῖς συνεχέσι, τῶν ἀγγείων ἐντός· κατὰ δὲ τῶν ἐμφαινομένων τοῖς παροξυσμοῖς καὶ ταῖς εἰςβολαῖς οὕτως, τῷ μὲν γὰρ διπλασίονι τριταίῳ ἡ εἰςβολὴ τοῦ παροξυσμοῦ γέγονε τῶν κδ'. ὡρῶν ἐντός, μήπω τοῦ προκατάρξαντος τριταίου τὴν ῥαστώνην τοῦ πυρετοῦ καλῶς ἐσχηκότος, μήτε τάς, ὡρισμένας ιβ'. ὥρας τελέως τὸ οἰκεῖον διάλειμμα δεξαμένου. Οἱ δέ γε τριταῖοι οὐχ' οὕτως, ἀλλὰ κατὰ μὲν τὸ ποσὸν τῆς ὕλης καὶ οὗτοι τῷ διπλῷ τριταίῳ ὁμοίως τὴν γένεσιν ἔσχον· ἐν

ἄλλοις μέν τοι καὶ ἄλλοις μορίοις τοῦ σώματος ἑκάτερος τούτων ἐσχηκότες τὴν σύστασιν. Θάτερος γὰρ τούτων ἐν μυσὶ καὶ σαρξὶ μεμέρισταί τε καὶ ἤθροισται, θάτερος δὲ ἐν ταῖς τοῦ ὅλου κοιλότησι σώματος· καὶ διὰ ταῦτα τούτων ἑκάτερος μετὰ τὴν τῶν κδ'. ὡρῶν συμπλήρωσιν, τὴν τοῦ οἰκείου παροξυσμοῦ πεποίηται εἰςβολήν· ταῖς οὖν εἰςβολαῖς καὶ τοῖς παροξυσμοῖς, ἄμφω κατὰ τὰς ἀρχὰς κρινόμενοι ἀλλήλων διενηνόχασι· διότι τῷ μὲν διπλῷ ἐν ἄλλαις καὶ ἄλλαις τῶν ὡρῶν παροξύνονται, τουτέστι τῶν κδ'. ὡρῶν ἐντός· οἱ δὲ δύο τριταῖοι μετὰ τὴν τῶν τοιούτων ὡρῶν συμπλήρωσιν, τὴν τῶν οἰκείων παροξυσμῶν εἰςβολὴν πεποίηνται· ἐν τῇ αὐτῇ ὥρᾳ εἰςβάλλει ἕκαςος.

(μθ'.) *Περὶ ἡμιτριταίου.*

Ἔστι δέ τις καὶ ἕτερος πυρετὸς ἐκ δυοῖν γενοῖν συνιστάμενος, οὐχ' ὑπ' ἀλλήλοις, ὥςτινες φαῖεν, οὐδ' ὑπὸ τὸ αὐτὸ γενικώτατον ἀναγόμενοι, ἀλλὰ θάτερος τούτων, ὑπ' ἄλλο καὶ ἄλλο γένος ταττόμενοι, ἐστ' ἂν καθ' ἑαυτὸν ἕκαςτος θεωροῖτο, (α) ἀμφημερινὸν φημὶ καὶ τριταῖον' οἵτινες τῇ πλεονεξίᾳ τῆς ἕκαστον αὐτῶν γεννώσης ὕλης ἐν τῷ αὐτῷ συνελθόντες, καὶ ἐπιμίκτοί πως κατὰ ποιότητα γεννηθέντες, τὸν ἡμιτριταῖον πυρετὸν ἀπεγέννησαν. Καὶ γὰρ ὁ μὲν τῶν χυμῶν ὡς *ἔχει, δρᾷ*· οἷον ὁ χολώδης κατὰ φύσιν ἔχει τὸ θερμαίνειν, ὁ δὲ ἕτερος οὐκ ἔχει· οἷον ὁ φλεγματικός, καὶ γὰρ φύσει ψυχρὸς ὤν, ὃ οὐκ εἶχε προςέλαβε διὰ τῆς σήψεως, λέγω δὴ τὸ θερμαίνειν· καὶ διὰ τοῦτο, εἰ καὶ ὁ μὲν ἐντὸς ὑπάρχει τῶν ἀγγείων, ὁ δὲ ἐκτός, ἀλλ' οὖν ἡ ποιότης ἐν ἀμφοτέροις ἡ αὐτὴ γέγονε, τῇ μὲν φύσει αὐξηθεῖσα, τῷ δὲ κατ' ἐπιτηδειότητα προςγενομένη ἀπὸ τῆς σήψεως. Πῶς δὲ φαμὲν τὸν ἡμιτριταῖον ἐξ ἰσοσθενοῦς γίνεσθαι κράσεως, τριταίου φημὶ καὶ ἀμφημερινοῦ; εἰ ὁ μὲν τριταῖος κατὰ ποιότητα ἀεὶ ὑπερβάλλῃ τοῦ ἀμφημερινοῦ, ὁ ἀμφημερινὸς ἀσθενὴς ἐστὶ καὶ ἐξισω-

(α) Θεωρεῖται

θῆναι οὐδέ ποτε τῇ δυνάμει κατὰ ποιότητα τῷ τριταίῳ δύναται. Φημὶ οὖν ὅτι εἰ καὶ τῇ φύσει ὁ τριταῖος ὑπερέχῃ τοῦ ἀμφημερινοῦ, ἀλλ' οὖν ἐκτὸς ἐστὶ τῶν ἀγγείων, καὶ ἐκτὸς ὤν, πλεῖον ἔχει τὸ διαφορούμενον τοῦ σεσημμένου· ὁ δ' ἀμφημερινὸς ἐντὸς ὢν τῶν ἀγγείων, τὸ μὲν διαφορούμενον ἔλαττον κέκτηται, τὸ δὲ σεσημμένον πλεῖον. Καὶ διὰ τοῦτο εἰ καὶ τῇ φύσει ἐλαττοῦται, ἀλλ' οὐ τῇ θέσει, λέγω δὴ τοῦ ἐντὸς εἶναι τῶν ἀγγείων καὶ τοῦ τὴν σῆψιν πλείονα κεκτῆσθαι, τὸ ἐλλεῖπον ἀναπληροῖ, ὡς γίνεσθαι αὐτόν, ἴσον τῷ τριταίῳ. Περὶ δὲ τῶν ὡρῶν τοῦ ἡμιτριταίου πῶς τε ὁ μέγας ἐν μη'. ὥραις, ὁ δὲ μέσος ἐν λζ'. ὁ δὲ μικρὸς ἐν εἰκοσιτέσσαρσιν ἀναστρέφονται; Φημὶ δὲ δυσχερῆ εἶναι τὴν τούτων ἀπόδειξιν, εἰ μὴ ἐξ ὑποθέσεως λογικῶς ἢ ἐπιστημονικῶς τοῦτο κατασκευάσωμεν. Ὑποκείσθω οὖν τὸν ἡμιτριταῖον τυχόν, ὥραν πρώτην τῆς ἡμέρας ἐπεισβεβληκέναι, τὸν δέ γ' ἀμφημερινὸν ἑνδεκάτην ἢ δωδεκάτην. Ἰστέον δὲ δήπου ὅτι ὁ ἀμφημερινὸς ιή. ὥρας κατέχειν εἰώθει, ὥςτε τὴν νύκτα πᾶσαν καὶ τῆς δευτέρας ἡμέρας τὸ μέσον, ὡς γίνεσθαι τὰς πάσας ὥρας λ'. εἶτα ἀπὸ τοῦ μέσου τῆς ἡμέρας πάλιν εἰκός ἐστι τὸν ἐφήμερον ἄρξασθαι, ὃς τάς τε ἓξ ὥρας τῆς ἡμέρας καὶ τὰς τῆς νυκτὸς δώδεκα κατασχών, ὑπενόστησεν, ὡς εἶναι τὰς πάσας ὥρας μή. ἕωθεν οὖν πάλιν τῇ τρίτῃ ἡμέρᾳ τὸν τριταῖον εἰκός ἐστιν ἄρξασθαι. Οὗτος οὖν ὁ μὲν μέγας ἡμιτριταῖος ἀκριβῆ καὶ τὴν τῶν ὡρῶν τάξιν φυλάττειν εἴωθεν. Φαίνεται δὲ τοῖς μὴ ἀκριβῶς εἰδόσι τὰς ἰδιότητας τοῦ ἡμιτριταίου, μὴ εἶναι οὕτως, διὰ τοὺς παρεμπίπτοντας παροξυσμούς, ἀγνοοῦσιν ὅτι τοῦτο ἐστὶ τοῦ ἡμιτριταίου ἴδιον· καὶ γὰρ περὶ τὰς ἓξ που ἢ ἑπτὰ ὥρας τοῦ παροξυσμοῦ, ἤδη παρεμπίπτουσι φρίκαι καὶ συστολαὶ τοῖς κάμνουσιν ἀνιέμεναί τε καὶ ἐπιτεινόμεναι, ὡς δοκεῖν ἕτερον εἶναι τὸν παροξυσμόν. Ἀλλ' ἐν μὲν τῷ μείζονι ἡμιτριταίῳ ἐπιτείνονται μᾶλλον αἵτε φρίκαι καὶ αἱ συστολαὶ τοῖς κάμνουσιν· ἐν δὲ τοῖς ἄλλοις, ὅτε μὲν αἱ φρίκαι ἐπιτείνονται, αἱ δὲ συστολαὶ καὶ αἱ περιψύξεις ἀνιῶνται, ὅτε δὲ ἔμπαλιν· καὶ γὰρ ἐν μὲν τῷ μέσῳ ἡμιτριταίῳ αἱ συςολαὶ μᾶλλον καὶ αἱ περιψύξεις ἐπιτείνονται διὰ τὴν τοῦ φλέγματος

ἐπικράτειαν, ἐνδέ γε τῷ μικρῷ αἱ φρίκαι. Γίνεται δὲ τοῦτο διὰ τὴν χολὴν, πῆ μὲν ὡρμῶσαν πρὸς τοὐκτὸς διαφορηθῆναι, νοθευομένην δὲ ὑπὸ τοῦ φλέγματος καὶ ἀνθελκομένην εἴσω, καὶ τῇ ἀτάκτῳ ταύτῃ κινήσει τὰ παρεμπίπτοντα ῥίγη ἐργάζεσθαι. Οὕτως οὖν ἐδείχθη ὁ ἀκριϐὴς, ἤγουν ὁ μέγας, ὃς καὶ διὰ τὴν ἰσοσθένειαν τῶν χυμῶν τὰς μή. ὥρας καθέξει· ὁ δὲ μέσος διὰ τὸ μὴ ἑκατέρων ἴσην εἶναι τὴν δύναμιν, ἀλλὰ τὸν μὲν φλεγματικὸν ὑπερϐάλλειν, ὑστερεῖν δὲ τὸν ξανθοχολικὸν, ἐλάττους τὰς ὥρας τοῦ ἀκριϐοῦς ποιήσει, καὶ ἔτι μᾶλλον ἐλάττονας ὁ μικρὸς διὰ τὴν τῆς χολῆς ἐπικράτειαν, εὐδιαφορήτου καὶ εὐαξάπτου τυγχανούσης· καὶ γὰρ οὐκ ἀεὶ ὁ ἀκριϐὴς τριταῖος τῷ ἀκριϐεῖ ἐφημέρῳ συμπλέκεται· ἀλλ' ἐςιν ὅτε ὁ μὲν τριταῖος ἐστὶν ἀκριϐὴς, ὁ δὲ ἀμφημερινὸς οὐκ ἀκριϐὴς καὶ τὸ ἀνάπαλιν, ὁ μὲν ἀμφημερινὸς ἀκριϐὴς, ὁ δὲ τριταῖος οὐκ ἀκριϐής. Διὰ τί τοῦτο; Ὁποτ' ἂν ὑπερϐάλλῃ τὰ τοῦ ἐφημέρου γνωρίσματα καὶ ἐπικρατῇ τὰ τοῦ φλέγματος, ἔχει μὲν τὰ τοῦ μεγάλου ἰδιώματα διὰ τὴν σύνοδον τῶν χυμῶν, ἐλλείπει δὲ κατά τι. Οὕτως οὖν καὶ ὁπόταν ἐπικρατῇ τὰ τῆς χολῆς καὶ τὰ τοῦ τριταίου γνωρίσματα ἀκριϐῆ δείκνυται· μᾶλλον μὲν οὖν ἐν τούτῳ ἐστὶ καὶ ἡ ἔλλειψις.

Γνώσῃ δὲ τοῦτο σαφῶς ἐκ τῆς ἀναλογίας· καὶ γὰρ ὁ μέγας ἡμιτριταῖος πρὸς μὲν τὸν μέσον ἐστιν ἐπίτριτος, πρὸς δὲ τὸν μικρὸν διπλάσιος· ὁ δὲ μέσος πρὸς τὸν μικρὸν ἔστιν ἡμίολος· ὃν οὖν λόγον ἔχει ὁ 16 ἀριθμὸς πρὸς τὸν 12, τὸν αὐτὸν λόγον ἔχει καὶ ὁ 48 εἰς τὸν 36· καὶ ὃν λόγον ἔχει ὁ 24 πρὸς τὸν 12 τὸν αὐτὸν λόγον ἔχει καὶ ὁ 48 πρός τὸν 24. καὶ πάλιν ὃν λόγον ἔχει καὶ ὁ 18 πρὸς τὸν 12, τὸν αὐτὸν λόγον ἔχει καὶ ὁ 36 πρὸς τὸν 24. Ὁ οὖν μη'. πρὸς λϛ'. ἐστὶν ἐπίτριτος, ἔχει γὰρ τὸν λϛ'. καὶ τὸ *τρίτον* μέρος αὐτοῦ πρός δέ γε τὸν κδ'. ἐστι διπλάσιος· ἔχει γὰρ τὸν εἴκοσι κδ'. ἀριθμὸν δὶς, ὁ δέ γε λϛ'. πρὸς τὸν κδ'. ἔςιν ἡμίολος.

(γ΄.) Ποσαχῶς ὁ τρόπος τῆς τοῦ ἡμιτριταίου γενέσεως.

Διττός ἐστιν ὁ τρόπος τῆς τοῦ ἡμιτριταίου γενέσεως· ἢ γὰρ συνελθόντων εἰς ἕνα καὶ τὸν αὐτὸν καιρὸν τῶν παροξυσμῶν, τριταίου τε φημὶ καὶ ἐφημέρου, ἢ εὐθὺς ἐξ ἀρχῆς συγκεκραμμένων ἀλλήλοις ἀμφοτέρων. Ἕνα μὲν γὰρ μόνον ἴσχει παροξυσμὸν φύσει ὁ ἡμιτριταῖος, ὁ εἰς ἕνα καιρὸν ἀμφοτέρων συνελθόντων γινόμενος· ὁ δ' ἄλλος, ὥςπερ δὴ καὶ κυρίως ἡμιτριταῖος ἔστι τε καὶ ὀνομάζεται πὰρ ἁπάντων· ἀπ' ἀρχῆς γὰρ ἄχρι τελευτῆς τοῦ νοσήματος, ἀμφοτέρους ἔχειν εἰςβάλλοντας. Οὗτος τοίνυν τε ὁ ἐκ τριταίου τε καὶ διαλείποντος συνεχοῦς ἐφημέρου, ὃν ἡμιτριταῖον καλοῦμεν, γινόμενος, εἰ μὲν ἔτι κρατοῦντά τε καὶ πλεονεκτοῦντα τὸν χολώδη χυμὸν ἴσχῃ, τοῦ ἀκριβοῦς τριταίου γνωρίσματα ἐπιδηλότερά πως κατ' ἐπικράτειαν φαίνονται· εἰδέ γε τὰ τῆς σήψεως τοῦ φλεγματώδους χυμοῦ ἐπικρατοίη τὰ τοῦ ἐφημέρου συμπτώματα, τὰ τοῦ τριταίου ἐπιδηλώτερα φανεῖται· εἰ δ' οὐδετέρου τῶν χυμῶν ἐπικράτεια φαίνηται, ἀλλ' ἰσοσθενεῖς ἄμφω κατὰ ποιότητα καὶ ποσότητα γίγνοιντο, ὁ κυρίως καὶ ἀκριβὴς ἡμιτριταῖος παρ' ἁπάντων τῶν παλαιῶν ἰατρῶν ἐστι τε καὶ ὀνομάζεται. Ἐπεὶ δέ τινες καὶ περὶ τῶν ὡρῶν διαφέρονται, ἀποροῦντες πῶς ὁ μὲν τῶν ἡμιτριταίων ὥραις μή. ὁ δὲ λϛ΄. ὁ δὲ κδ΄. ὥρισται, καὶ τοῦτο ἐπιλύσωμεν ἀκριβέστερον. Τῶν πυρετῶν, οἱ μὲν ἐστὶν ἁπλοῖ, οἱ δὲ σύνθετοι· καὶ τῶν συνθέτων, οἱ μὲν ὁμογενεῖς, οἱ δὲ ἑτερογενεῖς· καὶ περὶ μὲν τῶν ὁμογενῶν, οἷον δύο τριταίων, εἴτε τεταρταίων ἢ ἄλλων οὐ πρόκειται λέγειν τῶν συνθέτων καὶ ἑτερογενῶν. Ἐπεὶ οὖν τῶν ἀπὸ τοῦ γένους τοῦ τριταίου διττὸν ἐστι τὸ εἶδος τοῦ πυρετοῦ· ἢ γὰρ διαλείπων ἐστὶν, ἢ συνεχής. Ὁμοίως δὲ καὶ ἀπὸ τοῦ ἐφημέρου εἴδη δύο πυρετῶν εἰσὶν διαλείποντος καὶ συνεχοῦς, τέσσαρες γενήσονται συνθέσεις· τριταῖος γὰρ διαλείπων, καὶ ἀμφημερινὸς διαλείπων, καὶ τριταῖος συνεχὴς καὶ ἀμφημερινὸς συνεχής. Μιγνύμεναι τοίνυν πᾶσαι αἱ διαφοραὶ γενήσονται τέσσαρες, ὧν αἱ μὲν τρεῖς συνίστανται, ἡ δὲ μία οὔ. Ἢ γὰρ τριταῖος διαλείπων τῷ ἐφημέρῳ διαλείποντι συμπλακήσεται, ἢ ἀμφημε-

ρινὸς συνεχὴς τῷ διαλείποντι τριταίῳ καὶ διαλείπων ἀμφημερινὸς τῷ συνεχεῖ τριταίῳ· συνεχὴς δὲ τριταῖος τῷ συνεχεῖ ἀφημερινῷ, οὐκέτι. Τούτων οὖν συνεχεῖ ὁ μὲν διαλείπων τριταῖος τῷ ἀμφημερινῷ μιγεὶς, τὸν ἀκριβῆ ἡμιτριταῖον ποιήσει· ὁ δὲ ἀμφημερινὸς διαλείπων τῷ συνεχεῖ τριταίῳ, τὸν νόθον ἡμιτριταῖον ποιήσει· ὁ δὲ διαλείπων τριταῖος τῷ διαλείποντι ἐφημέρῳ, ἕτερον παρὰ ταῦτα εἶδος πυρετοῦ ἀπεργάζεται. Οὗτος οὖν ὃν εἴπομεν ἐκ τριταίου καὶ διαλείποντος συνεχοῦς ἐφημέρου συνίςασθαι, ὃν δὴ καὶ ἡμιτριταῖον ὠνόμακα, εἰς τρία τὴν διαίρεσιν ἐπιδέχεται· καὶ ὃς μὲν καλεῖται μέγας, ὃς δὲ μέσος, ὃς δέ μικρός· καὶ μέγαν μὲν λέγομεν τὸν ἐξ ἰσοσθενοῦς κράσεως ἀμφοτέρων τῶν χυμῶν συνιστάμενον· μέσον δὲ, τὸν ἐνῷ ἐπικρατεῖ τὰ τοῦ φλέγματος· μικρὸν δὲ τὸν ἐν ᾧ τὰ τῆς χολῆς. Καὶ τὸν μὲν μέγαν περὶ τὰς μή. ὥρας στρέφεσθαι φησὶν ὁ Γαληνὸς, τὸν δὲ μέσον περὶ τὰς λϛ΄. τὸν δὲ μικρὸν περὶ τὰς κδ΄. τούτων δ᾽ ἕκαστος, ἢ κατὰ μέρος γίνεται, ἢ κατὰ κρᾶσιν· ἄθρει δέ μοι καὶ τοὺς διαφέροντας τούτων καιρούς. Οἱ γὰρ πυρετοὶ ἐξ ὧν σύγκεινται εἰςβάλλοντες φαίνονται, λέγω δὴ ὁ μὲν τριταῖος ὅτ᾽ ἂν ὥραν τυχὸν πρώτην, ὁ δ᾽ ἀμφημερινὸς ιά. τυχὸν ἢ ιβ΄. κατὰ μίξιν τότε λέγεται τοῦτον συνίστασθαι· εἰ δέ γε ἅμα καὶ ἐν τῇ αὐτῇ ὥρᾳ, ὅτε τριταῖος καὶ ὁ ἀφημερινὸς τὴν εἰςβολὴν ποιήσωνται, τότε δὴ κατὰ κρᾶσιν ἴσθι τὸν ἡμιτριταῖον γεγονέναι. Ἔχει δὲ ἀπορίαν, ὅτι ἐπειδὴ ὁ μὲν τριταῖος ἐκτὸς τῶν ἀγγείων ἐστὶν, ὁ δὲ ἀμφημερινὸς ἐντὸς, ἡ δὲ μίξις καὶ ἡ κρᾶσις τῶν χυμῶν τότε εἴωθε γίνεσθαι, ὅτε ἑνὶ καὶ τῷ αὐτῷ τόπῳ οἱ χυμοὶ συνέλθωσι· πῶς ἐστὶ δυνατὸν μίξιν τούτων ἢ κρᾶσιν γενέσθαι μὴ ἐν τῷ αὐτῷ τόπῳ ὄντων ἀλλ᾽ ἐν ἄλλῳ; Καὶ ἰστέον ὅτι ὁ ἡμιτριταῖος κατ᾽ ἐναντιότητα εἴωθε γίνεσθαι· ἡ δὲ ἐναντιότης κατ᾽ οὐσίαν οὐδέποτε γίνεται· οὐσία γὰρ οὐσίᾳ οὐκ ἀντίκειται, ὡς οἱ λογικώτεροι τῶν φιλοσόφων φασὶν, ἀλλὰ κατὰ ποιότητα. Τὰ γὰρ ἀντικείμενα τετραχῶς, ἢ ὡς πρός τι, ἢ ὡς ἕξις καὶ στέρησις, ἢ ὡς κατάφασιν καὶ ἀπόφασιν, ἢ ὡς τὰ ἐναντία. Τεσσάρων οὖν ὄντων τῶν αἰτίων, ἀντικειμένων κατ᾽ ἐναντιότητα, ὁ ἡμιτριταῖος ἔχει τὴν γένε-

σιν, καὶ γὰρ τὸ θερμὸν τῷ ψυχρῷ ἐναντίον, καὶ τὸ ὑγρὸν τῷ ξηρῷ. Ὁποτ' ἂν οὖν αἱ ποιότητες ἀμφοτέρων τῶν χυμῶν ἐν ταυτῷ συνελθοῦσαι ἓν εἶδος ἀποτελέσωσι πυρετοῦ κατὰ μίξιν, τηνικαῦτα ὁ ἡμιτριταῖος συνίσταται· ἔχει γὰρ τὴν κδ'. καὶ τὸ τοῦ κδ'. ἥμισυ, ἤγουν τὰ ιϐ'. διὰ τὸ ἐν μὲν τῷ μεγάλῳ ὁ μέσος ἡμιτριταῖος ἐπὶ τρίτον ἕξει τὴν ἐλάττωσιν, διά τε τὴν ὁμοτιμίαν τοῦ χυμοῦ καὶ τὸ τῶν ὡρῶν πλῆθος καὶ τὴν συνέχειαν· ὁ δὲ μικρὸς πρὸς τὸν μέγα διπλασίονα τὴν ἐλάττωσιν ἕξει διὰ τὸ εὐέξαπτον καὶ εὐδιαφόρητον τῆς χολῆς· πρὸς δέ γε τὸν μέσον ἡμιόλιον, διὰ τὸ τοῦ χυμοῦ ὠμότερον τε καὶ δυςδιαφόρητον. Διὰ τοῦτο ὁ μὲν μή. ὥρας καθέξει, ὡς ἀπεδείξαμεν, λέγω δὴ ὁ μέγας διὰ τὴν ἐπικράτειαν τοῦ φλέγματος· καὶ γὰρ ἡ ἔλλειψις, ἐπίτριτος καὶ τεταγμένη· ὁ δὲ πάλιν κδ'. ὥρας· λέγω δὴ ὁ μικρὸς διὰ τὴν τῆς χολῆς ἐπικράτειαν· αὕτη γὰρ ὡς εὐέξαπτος, ἑτοιμότερον πέπτει τὰς ὕλας καὶ διαφορεῖ, καὶ διὰ τοῦτο ὁ μέγας ἡμιτριταῖος πρὸς τὸν μικρὸν ὑπερέχει διπλάσιος, πρὸς δὲ τὸν μέσον ἐπίτριτος, ὁ δὲ μέσος πρὸς τὸν ἐλάσσονα ἡμιόλιος ὑπάρξει. Καὶ οὕτω μὲν περὶ τῶν ὡρῶν. Ἀποροῦσι δέ τινες λέγοντες, ὅτι ἐςι δυνατὸν τὸν ἐφήμερον ὥρας δέκα ὀκτὼ κατέχειν, συνεχῆ ὄντα καὶ τῶν ἀγγείων ἐντὸς καὶ μηδόλως διάλειμμά τι ποιούμενον. Πρὸς οὓς φαμὲν, ὅτι εἰ καὶ συνεχὴς ἐστὶν, ἀλλ' οὐ τὰ τοῦ διαλείποντος κέκτηται ἰδιώματα· καὶ γὰρ καὶ ὁ συνεχὴς ὁμοίως τῷ διαλείποντι τὴν εἰςϐολὴν ποιήσεται, πλὴν τοῦ ῥίγους καὶ τῆς περιψύξεως, καὶ τὰς ὥρας τεταγμένας φυλάξει· καὶ γὰρ καθ' ἕκαστον παροξυσμὸν, καὶ ἀρχὴν λήψεται καὶ ἀνάϐασιν καὶ ἀκμὴν καὶ παρακμήν. Καὶ ὥςπερ ἐστὶν ἐν ἐκείνοις τὸ διάλειμμα, οὕτως ἐν τούτοις ἡ ἔνδοσις καὶ ἡμιορεξία· ἐν τούτῳ γὰρ διαφέρει συνόχου· καὶ γὰρ ὁ σύνοχος ἀπ' ἀρχῆς ἄχρι τέλους ἴσος ἐστὶν, ἢ ἐπακμαστικὸς, ἢ παρακμαστικός. Τοῦτο δὲ γίνεται τῇ σήψει καὶ διαφορήσει· ὁ δέ γε ἐφήμερος ἐνδιδοὺς ὁρᾶται καὶ παροξύνων καὶ τὰ οἰκεῖα τοῦ εἴδους φυλάττων ἰδιώματα, ὡς ἐδείχθη ἐν τῇ περὶ διαφορᾶς πυρετῶν τοῦ Γαληνοῦ ἐξηγήσει.

(ρά.) Περὶ νόθου ἀμφημερινοῦ ἢ συμβεβηκότος.

Ἐςι δέ τις ἐν τούτῳ τῷ γένει ἕτερος πυρετὸς οὐ κυρίως, ἀλλὰ κατὰ συμβεβηκὸς, ὅστις τὸ τοῦ νόθου κεκλήρωται ὄνομα (νόθος γὰρ καὶ ὁ τοιοῦτος,) ὁμοίως τῷ τριταίῳ ἐφήμερος ὀνομάζεται· περιττώματι δὲ καὶ οὗτος, οὐ φλεγματικῷ μόνῳ, ἀλλὰ καὶ ξανθοχολικῷ τὴν ὕπαρξιν ἔσχηκε· καὶ ἡ μὲν τοῦ φλέγματος μᾶλλον, ἧττον δὲ ἡ τῆς χολῆς ποιότης ἐπικρατεῖ ἐν τούτῳ, καὶ διὰ τοῦτο πρᾳέστερος μὲν οὗτος τοῦ ὁμογενοῦς γεγένηται.

(ρβ'.) Περὶ πεμπταίου πυρετοῦ. Διάγνωσις.

Φασὶ τῶν παλαιῶν οὐκ ὀλίγοι, ὡςκαὶ πεμπταίου πυρετοῦ γεγένηται σύστασις· καὶ τινὲς τούτων, ὧν εἷς ἐστὶ καὶ ὁ Ῥοῦφος, ἐν τῷ περὶ τεταρταίου οἰκείῳ λόγῳ γενόμενος, οὗτος ἱστορίαν τινὰ παραδίδοσι, θεατὴς γενέσθαι καὶ οὗτος αὐτῆς, λέγων· γυνή τις μετὰ μῆνας τοῦ τοκετοῦ τρεῖς, τεταρταίῳ ἑάλωκε, Μήπω δὲ τούτου ἀκμάσαντος, ἀλλὰ περὶ τὰς ἀρχὰς ἀναστρεφομένου διὰ πέμπτης παρώξυνε τὸ γύναιον, λέγω δὴ τοῦ τεταρταίου δύο διαλείποντος· οὗτος μετὰ τρεῖς εἰςβάλλων ἐφαίνετο, καὶ τοῦτο ἐπὶ τρισὶ περιόδοις ἐφάνη γινόμενον· μετὰ ταῦτα δὲ ὁ πρῶτος τὴν οἰκείαν φυλάττων τάξιν ἐφαίνετο. Ἀλλὰ καὶ ἑβδομαῖον ὁ τοιοῦτος ὑποτίθεται γίνεσθαι καὶ ἐνναταῖον Ῥωμαίῳ στρατηγῷ Συμμαντῷ (?) ὁ δέ γε Γαληνὸς οὐ μόνον ἱστορῆσαι ποτὲ φάσκει, ἀλλ' οὐδὲ ὅλως γενέσθαι τοῦτο ὑποτίθεται.

(ργ'.) Περὶ τεταρταίου νόθου, πῶς γίνεται.

Νόθον δὲ τεταρταῖον ὁμολογοῦμεν ἅπαντες γίνεσθαι, διὰ τὸ ἄκρατον ἐν τούτοις τὸν μελαγχολικὸν τυγχάνειν χυμόν· ἀλλ' ἀναμέμικται τούτῳ καὶ χολῶδές τι περίττωμα, κἂν τούτῳ τοῦ νοθεύεσθαι, ὅστις τοῦ ἀκριβῶς ῥᾷον πεπέφθαι δύναται· δύο δὲ ἢ καὶ τρεῖς τεταρταῖοι ἐν τῷ αὐτῷ σώματι κατὰ τὸν αὐ-

τὸν χρόνον πεφύκασι γίνεσθαι· τοῦ περιττώματος δηλονότι τούτου ἕνα γεννήσαντος τρισσουμένου κατά τε τὸ ποιὸν καὶ τὸ ποσόν. Ἀλλ' ἡ μὲν δύναμις τοῦ ποιοῦ, ἡ ἐν τῷ νοσήματι, ἐν τῇ ὕλῃ φαινομένη, οὐχ' ὁμοτίμως τοῖς τρισὶ πεπεράτωται, ἀλλὰ μᾶλλον μὲν ἐν τῷ προκατάρξαντι φαίνεται, ἧττον δὲ ἐν τοῖς δυσί· καὶ διὰ τοῦτο σφοδροτέραν μὲν πρῶτος τὴν εἰςϐολὴν ποιούμενος φαίνεται, πρᾳεστέραν δέ πως οἱ λοιποί. Καθεκάστην μὲν γὰρ ὁ τοῖσδε τοῖς πυρετοῖς ἁλοὺς παροξυνόμενος, τοῖς πολλοῖς τῶν ἰατρῶν ἐφημέρῳ ἑαλωκέναι κριθήσεται· καὶ τούτων μᾶλλον, ὅσοις ἡ πεῖρα τοῦ λόγου διὰ σπουδῆς ἔχειν νενόμισται· οὐμήν γε ἴσασιν ἀκριϐῶς, ὡς οὐδ' αὐτῇ τῇ τριϐῇ ἀκριϐέστερον ἐπεμϐάλλουσιν, ἀλλὰ δοκοῦντες εἰδέναι, μηδὲν εἰδότες εὑρίσκονται.

(ϛδ'.) Ποῖαι τῶν πυρετῶν ἐπιπλοκαί, καὶ ποῖαι ἑτερογενεῖς καὶ ποῖαι ὁμοειδεῖς καὶ ἑτεροειδεῖς.

Τῶν πυρετῶν ἐπιπλοκαὶ τῶν ἐπὶ σήψει, αἱ μὲν εἰσὶν ὁμογενεῖς, αἱ δὲ ἑτερογενεῖς· καὶ αἱ μὲν ὁμοειδεῖς τυγχάνουσι, αἱ δὲ ἑτεροειδεῖς. Ὁμογενεῖς μὲν οὖν εἰσὶν αἱ ἀπὸ τῆς αὐτῆς ὕλης συνιστάμεναι, τουτέστιν δύο τριταῖοι καὶ τρεῖς τριταῖοι καὶ πάλιν δύο ἀμφημερινοὶ καὶ τρεῖς ἀμφημερινοί· καὶ δύο τεταρταῖοι καὶ τρεῖς τεταρταῖοι· ἑτερογενεῖς δὲ, οἱ ἀπὸ ἄλλης καὶ ἄλλης ὕλης συνιστάμενοι, ὡς τρεῖς ἀμφημερινοὶ καὶ τριταῖος ἢ τεταρταῖος· ὁμοειδεῖς δὲ εἰσὶν οἱ διαλείποντες τοῖς διαλείπουσι, καὶ οἱ συνεχεῖς τοῖς συνεχέσι, καὶ οἱ συνεχεῖς τοῖς διαλείπουσιν. Ὅτ' ἂν οὖν γένηται τριταῖος διαλείπων καὶ ἀμφημερινὸς συνεχὴς, εὔδηλον ὅτι δύο γεγόνασι πυρετοὶ, καὶ οὗτοι τυγχάνουσι ἑτεροειδεῖς καὶ ἑτερογενεῖς· ἑτερογενεῖς μὲν, ὅτι ἀπὸ ἑτέρας καὶ ἑτέρας ὕλης ἐγένοντο· ἑτεροειδεῖς δὲ, ὅτι, ὃς μὲν διαλείπων, ὃς δὲ συνεχής ἐστιν· ἐὰν δὲ ἀμφημερινὸς καὶ τριταῖος διαλείποντες γένωνται, δῆλον ὡς ἑτερογενεῖς μὲν εἰσὶν, ὅτι ἐκ διαφόρων ἐγένοντο χυμῶν· ὁμοειδεῖς δὲ, ὅτι ἀμφότεροι διαλείποντες ἐγένοντο.

(vi.) Τὰ ῥίγη πῶς προηγοῦνται, καὶ πῶς συνίςανται, καὶ τισιν ἕπονται.

Προηγοῦνται μὲν ἐπὶ τῶν διαλειπόντων καὶ διατὶ μὴ παντὶ ῥίγει ἕπεται πυρετὸς; ὅτι τὰ τοιαῦτα ῥίγη διαίταις ἕπεται μοχθηραῖς, ἐμπιπλαμένων τῶν ἀνθρώπων καὶ διαιτουμένων ἀργῶς, πολλάκις δὲ καὶ λουομένων ἐπὶ τροφαῖς· ὅτι δὲ καὶ τῶν ἐδεσμάτων αἱ ποιότητες, ἐκ τῆς ψυχροτέρας τε καὶ φλεγματωδεστέρας εἰσὶ κράσεως, ἑτοιμοτάτοις ῥίγεσιν ἀνεκθερμάντοις οἱ χρώμενοι τούτοις ἁλίσκονται. Διατὶ ἐπὶ τῶν ὀξέως πυρεξάντων, φλύκταιναι ἀνὰ τὰ χείλη γίνονται. Ἰστέον ὅτι περ ἡ λύσις αὕτη ῥᾳδία ἐστὶ· καὶ γὰρ ἐν τοῖς πεμφυγώδεσι πυρετοῖς γίνονται, καὶ οὐκ ἐπὶ πάντων τῶν πυρετῶν τῶν ὀξέων· καὶ γε διὰ τὴν ἐπίτασιν τῆς θερμασίας αὗται γίνονται.

Ἐν Ζακύνθῳ τῇ 22. Μαΐου 1862. Ε. Π.

ΤΕΛΟΣ.

ΤΥΠΟΓΡΑΦΕΙΟΝ Ο ΠΑΡΝΑΣΣΟΣ.

